













BIBLIOTHECA REGIA
HAFNIENSIS

ΤΟΥ͂ ΧΡΙΣΤΟΥ͂ ΠΑ΄ΣΧΟΝΤΟΣ ΛΥ-
ΤΡΟΝ ΚΟΣΜΟΣΩΤΗ΄ΡΙΟΝ.

PARAPHRASIS
SACROSANCTISSI-
mæ historiæ Paßionis & Mortis, Domini ac Saluato- ris nostri
IESV CHRISTI,

Carmine Heroico Græco scripta

A

PETRO VINSTRVPIO Haffniensi.

prospiciente Deo florebit
Erasmus Jacobi



1643

VITEBERGAE

IOHANNES CRATO
EXCVDEBAT.

ANNO M. D. LXXVI.

Doctrina & Virtu[illegible]
præstanti Viro
[illegible]stro Andr[illegible]
no A





Nicolaus Ponboe.

GENEROSISSIMIS

ATQVE EXIMIA VIRTVTE ET eruditione præcellentibus Adoleſcentibus TRVDERO BIORNONI & IACOBO BIORNONI: Viri ampliſsimi BIORNONIS ANDREÆ Domini de Stenhalt & Viſchöle, Præſidis ARhuſienſis, Sereniſsimi & potentiſsimi Danorum Regis FRIDERICI II. Conſiliarij prudentiſsimi, filijs, S.

NON MINVS VERE QVAM eleganter, Adoleſcentes maiorum imaginibus & animi dotibus præſtantiſs: ab Iſocrate proditum eſſe iudico, Homines in alijs, vel extollendis, vel deprimendis, Dei veluti inſtrumenta eſſe, dum admirandam & ſingularem Generoſiſs. & Magnifici Parentis veſtri Domini & Mecœnatis mei colendiſs: beneuolentiam & propenſam voluntatem, qua me ſemper benignè complexus eſt, animo mecum voluo & perpendo: Quem veluti ſingulare Dei inſtrumentum mihi fuiſſe, & in denſis fortunæ tenebris tanquam ſalutare ſydus diuinitus illuxiſſe, meritò agnoſco.

Is enim ab eo tempore, quò primum Muſis conſecratus eſſem, ampliſsimis me beneficijs, omni cum humanitate & fauore proſequi, literas & ſtudia benigniſsimè fouere & excitare, rebus omnibus cumulatiſsimè augere & ornare, nunquã deſtitit. Cuius autoritate, conſilio & auxilio, tanquam ſingulari Dei inſtrumento effectum eſt, vt

ad hunc, quem nunc Dei benignitate ſtatum obtineo, è varijs difficultatum fluctibus, eluctatus ſim: vt abundè in me declararit, ſe, cùm in alios honeſtos ac probos, tùm verò in ſtudioſos & eruditos, vel maximè propenſum eſſe. Cui vni ſecundum Deum cùm ſtudia, tùm fortunæ omnia alia, accepta ferenda eſſe, eique & omnibus eius, mancipi & arctiſsimis neceſsitudinis ſubiectiſsimæ vinculis obſtrictum teneri profiteor, quibus me nunquam laxari ne quidem ſolui poſſe ſat ſcio. Nam vt ingentia ſunt, tenuitas autem mea anguſtiſsima, quæ nullam reſtituendi facultatem ſuggerit, ita polliceri mihi non auſim, vt vel minimam partem, æqua vt dicitur lance remetiar. Nihil tamen priùs aut antiquiùs erit, quàm, vt quæ in me, cumulatiſsimè quaſi ſata intelligo, ſolo planè ſterili & infœcundo commiſſa minimè videantur. Et quamuis benignitate diuina, ea eſt fortuna veſtra, vt nec remunerandi vicem deſideret, nec ſplendori veſtro quidquam addi aut præſtari mea tenuitate queat: non tamen committam, quin quantum maximè potero, vbicunque vel dicendi, vel ſcribendi, ſe mihi obtulerit occaſio, grati animi (quod noſtræ opis eſt) ſignificationem & obſeruantiam, apud vos teſtatam relinquam. Interea Adoleſcentes generoſiſs: hæc πρωτόπειρα ſeu primi ſtudiorum conatus, fœtum quaſi abortiuum, mitto, filij Dei λύτρον κοσμοσωτήριον, quod inter alia, vt nouiſtis, ante aliquot annos, cum primum parens veſter, Pelei exemplum ſapienter imitatus, qui Achillem filium ſuum in gynæceo aulæue

ſua

ſua inter voluptatum & otij mancipia educari noluit, ἵν ἤδη μὴ μάθη κακῶν, vt inquit Euripides, ad exteros vos miſiſſet. à me, prout temporis tulit conditio, aliorumq́ ſtudiorum & laborum, quibus impenſiùs horas tribuebam, rationes paſſæ ſunt, carmine repræſentabam, Vt & meipſum, & vos meæ fidei commendatos (non vt literarum modò cognitione imbuerem, ſed vt pietatis etiam elementa inculcarem) ad pietatis & linguæ huius ſtudium acriùs incitarem. Eum ſanè qui νόμισμα ἀπὸ θεοῦ χαραχθὲν, vt loquitur Ignatius, eſſe voluerit, maximè decere in confeſſo eſt, iugiter in ijs verſari, & voluptatem capere, quæ ſcopum ſibi gloriam Dei propoſitam habent, quæq́ in animis quendam pietatis aculeum relinquunt: eò quod nec quidquam DEO acceptius: nec aliam pro beneficijs, gratiæ relationem eſſe nouimus, quam quæ Deo gratiſſima ſunt facere. Nam tanquam proprij fœtus & in aliquo cognati effectus, vt loquitur Clemens Alexandrinus, Saluator, actiones & correctiones hominum, ad proprium honorem accipit. Et quemadmodum ea, quæ manum tactumq́ quotidie patiuntur, vt eſt apud Senecam, periculum ſitus nunquam adeunt: ita quidquid frequens cogitatio exercet ac renouat, memoriæ nunquam ſubducitur, ſed menti altius infixum hæret. Sic pietatis exercitatio, qua nulla alia verior & conſtantior, nulla ingeniorum noſtrorum motui magis apta & conſentanea: ſiquidem, intimos animi ſenſus dum afficit, eundem reddit

Ignatius in epiſtola ad Magneſios.

Clemens Alexand. στρωμάτωμ. 7. folio. 329.

Seneca lib. 3. de beneficijs cap. 2.

tranquillum & planè ab aliarum cupiditatum lenociniis & noxis liberum. Quæ si negligatur facilè socordia obrepit, ad mundi illecebras, quibus maximam hominum partem irretiri cernimus, dilabimur, auocamenta soporem mentibus iuducentia obstrepunt, in fumos pietatis semina abeunt, & in quæuis flagitiorũ præcipitia impetuosè ruimus. Cursum igitur rectum & laudabilem capit, qui studia & cogitationes suas in vno Deo figit & locat, cuiq; hoc curæ est θεοῦ οὔνομα αἰὲν ἀοιδαῖς ὑμνεῖν ἀθανάτου, vt de Musis loquitur Theocritus, & ἀντίδωρον hoc longè tamen ἀντάξιον referre studet. Hæc & mihi stimulum addidêre, vt hanc filij Dei S. S. historiam non tamen vt debebat, aut materiæ dignitas requirebat, sed vt ingenij mei ratio & pluribus molestissimis curis cumulati labores cõcesserunt, numeris metricis Grecè exprimerem. Etsi aũt eruditioribus, doctrina multiplici instructis hæc ieiuni & impoliti ingenij (cui quid desit egomet mihi optimus testis) fœtura, cõfragosa & hiulca textura videatur, talisq; vt in repræhensionẽ meritò incurrat: Non tamen à re literaria & honesto otio alienam esse, mihi concessum volo. Præsertim, cum non fabulosam aliquam narrationem, sub obscuro cortice fictitijs coloribus occultatam: Nec inuoluti quid, vt Lactantius de quibusdam annotat, quos ait res verè gestas, in aliquas obliquæ figurationis species, cum decore aliquo conuersas, transfudisse: vt facilius imperitam plebem, à mysterijs sapientiæ reconditioris arcerent, dedi. Nec

Lactantius li. 1. cap. 11. et 19.

Sirenum

Sirenum more, ſcurrilem materiam, auribus pijs indignam, propoſui: ſed in caſto pioq́ argumento, Muſa noſtra χολλῶ διαθέσθαι & hanc materiam, huic aptiſsimo carminis genere transfundere voluit. Tum etiam paratiorem mihi veniam fore, confido, quod exercitium hoc, ad imitationem bonorum inſtitutum, homini ſolidam eruditionem appetenti, ſummè neceſſarium, eò quod magnam eruditæ doctrinæ partem complectitur, à præſtantiſsimis literarum coryphæis, Platone, Cicerone, Baſilio & alijs, habitum eſt. Inq́ hoc genere excultiſsimos quoſq́, cùm priſcos tum recentiores, ſeſe exercuiſſe videre eſt. Qui non Sirenæas ſpurcitias, ſed pias Odas pijs auribus dignas & vtiles, ad imitationem Homeri & aliorum in eo foro, expreſſas reliquêre. Quibus me non conſero; nam aliud Pſittacus, aliud coturnix, ſed tamen idem mihi licere cenſeo, vt quod illi bonitate ingenij & multiplici doctrina præſtitêre, id mihi legendo admirari & admirando piè imitari ὡς κολοιὸς ἐν ταῖς μούσαις liberè conceſſum autumo. Quò fit vt eorum, qui Archilochum terunt, quiq́ dente Theonio, aliorum fœtum arrodere ſolent, præpoſtera & ſiniſteriora ſi quæ pullulabunt iudicia, fortiter contemnam: Cùm ne quidquam mortalium, tam numeris omnibus abſolutum, tam doctum, tam rectè factum inueniatur, quod non, innatus momis iſtis non mimis, calumniandi & carpendi morbus, conuellat atq́ inceſſat: ſed βουκένται, γῆς δ' οὐκ εἰσὶν ἀροτῆρες.

Plato in Ione Cicero in oratione pro Archia. Basilius in oratione ad adolescentes de vtilitate ex græcis capienda. Aphthonius Sophista in progymnasmatis. Isocrates ad Nicoclem, & alij.

Sub veſtro autem nomine Adoleſcentes generoſiſsimi *TRVDERE* ſuauiſsime & *IACOBE* dilectiſsime, hunc meum impolitum & hiulcum fœtum, rigidam ſane membrorum ſine ſanguine compagem, propter materiam tamen lectu digniſsimum apparere volui: vt hoc veluti amoris pignore, & animi mei, erga vos, tanquam arrabone depoſito, quanti vos faciam, quàm vos amem & exoſculer, cognitum haberetis: vtq; faciliùs admoneamini de ijs, quæ maximè decent veſtram adoleſcentiam: quæ quamuis ſpontè veſtra facturos, minimè mihi dubium ſit: tamen vt ſæpius antea, ita & nunc hortor, vt in ijs, quæ Dei & honeſtatis ſunt, ſtudia veſtra locetis: tùm etiam, vt quam in hac lingua conſecuti eſtis cognitionem, non ſanè exiguam, ceu ſpartam ornetis & augeatis, vt, aliquando otij quid, vel nacti, vel commodè ſuffurati à legum ſtudio auguſtiſsimo (in quo nunc ex voluntate Generoſiſs: Parentis veſtri verſamini, qui iam pridem, cum vos egregia literarum cognitione imbutos, verè cognouiſſet, ei vos addictos eſſe, & in eo poſthac excoli voluit, ideoq; virum in eo profeſsionis genere diu verſatum, tanquam ducem vobis tradidit, vt benè in eo exculti, aliquando patriam veſtram, conſilio & opera iuuetis & ornetis) Id omne in rebus pijs honeſtiſq; collocetis. Adhæc etiam, vt æmulatione iuſta, ad domeſtici exempli gloriam, hæreditaria quadam ſucceſsione, adſpiretis: vt quarum laudum ſplendore & gloria ſemper veſtros floruiſſe acce-

pistis,

piſtis, & adhuc florere cernitis, *PATREM, KAASIOS, VLSTANDOS*, alioſq; veſtri ſanguinis & affinitatis intelligo, Quibus ſapientia, integritas, prudens & felix in rebus gerendis dexteritas, magnæq; aliæ virtutes, toti patriæ cognitæ & perſpectæ gloriam & autoritatam maximam peperére, ad eam potiſsimum flagranti conamine anheletis: quam ſi non ſuperando, æquando ſaltem propriam efficietis. Et quemadmodum paterna in vobis corporis imago, quam facie, habitu & ſtatura refertis, apparet: adeo vt natura quaſi ludens ſibi antea exemplar propoſuiſſe videatur, vt in eo ſolertiùs, quidquid eſt paterni, virtutiſq; cognatæ exprimendo, ſe ipſam vincere velle videatur: Ita etiam auitæ & paternæ virtutis, in animis veſtris fulgeat imago. Ad quod ſane vos naturali incitatione ferri, & animos eò inclinare veſtros, ego, cui quanta ingeniorumdexteritas, pietatis ardor, virtutum ſemina, ipſiuſque ad quoduis honeſti ſtimulantis naturæ benignitas & excellentia, comperta ſunt, teſtis ἀξιόπιστος eſſe poſſum: vt non vano præiudicio, opinioneq; mentis inconſulta, magno vos ornamento patriæ futuros, mihi perſuadeam. Pergite igitur Generoſiſs. Adoleſcentes, & quem inſtituiſtis in Muſarum circo, curſum feliciter peragite, & quò dignitas veſtra illuſtrior, domeſtica res amplior, fortuna benignior, gloria florentior: eò virtutum, pietatis & doctrinæ in vobis ſtudium ardentius ſit, & in eo tenaciùs hæreatis, ὥσπερ εἰ τὶς κλίμακας ἀναβαίνειν

ἄρξά-

δεξάμενοι, οὐ πρότερον ἵστανται, τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πρὶν ἂν τῆς ἄκρας ἐφίκονται βαθμίδος, Ita maiorum veſtrorum æmuli, iugiter pleno gradu honeſtorum aſcenſum, donec ad ſummum cacumen perueniatis, continuatote. Quod vobis benigniſs: Deus, cui veſtram adoleſcentiam gratam & dicatam eſſe ſcio, concedat: vt aliquando virtute & doctrina perpolitos, ſtudiorum curſu feliciter abſoluto, reduces ex peregrinis oris, ſaluos & florentes, Parentes chariſsimi videant. Valete quàm feliciſsimè & hunc qualemcunque conatum & operam noſtram, boni conſulite, eoque ſuſcipite animo, quo is, qui veſtri eſt obſeruantiſsimus offert. Vitebergæ ex Muſognaphæo noſtro, 8. Idus April: Anno Redemtoris 1576.

Veſtræ Generoſi:

addictiſsimus

Petrus Vinſtrupius.

HISTORIÆ
MORTIS CHRISTI.
PARS PRIMA.

Ἄνδρα μοι ἔννεπε μοῦσα θεουδέα, ὃς μάλα πολλὰ
τλῆσε λεωλεθρίων μερόπων ὕπερ, ἀνδρόμεόν τε
οὐλόμενον γένος, οἰκτίστων ἐῤῥύσατο μόχθων.
αὐτὸς ἐὼν θεὸς ἄφθιτος, ἠδὲ καὶ ἄμβροτος αἰὲν,
παντοκράτωρ καὶ ὑπερμεγέτης, αἰώνιος ἀλκὴ,
πᾶσιν ὁμῶς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσων,
καὶ υἱὸς γενέτου, ἀγεννήτου, αὐτογενέθλου
μουνογενὴς, ὁμοούσιος, ἠδὲ σφράγισμα θεουδὲς
πατρὸς ὑποστάσεως μέσος καὶ ἐνὶ τρισσοπροσώπῳ
μορφῇ ἐχούσῃ ἴσαν μίαν φύσιν αὐτοφυῆ, καὶ
πάγχυ ἀδιαίρετον. ὃς δ' ἐφημοσύνῃσι τοκῆος
οὐρανόθεν καταβὰς, χθόνα δύσατο πουλυβότειραν,
μορφὴν καὶ βροτέην λάβε, οὐ βροτέοισι νόμοισι,
σεμνοῖς ἐν σπλάγχνοισιν, ἀπειρογάμοιο τεκούσης
σαρκωθεὶς. βροτὸς ὡς μὲν ἐπὶ χθονὶ ἐξεφαάνθη
σῶμα ἑεσσάμενος ψυχήν τε, θάημα μέγιστον,
νόσφιν ἀτασθαλίης, βροτῷ ἀνέρι πάμπαν ἐοικὼς:
παντοίην κακότητα ὁ κάμμορος, ἄλγεα, ὕβριν,
λοιδορίην καὶ ὀλοώτατα πήματα, αἰνὰ πέπονθε.
δούρατι σταυροτύπῳ καὶ σύμπλοκος, ὑψόθι γαίης,
ὀξέσι δ' αἰνὰ πόδας τε χέρας τε πεπαρμένος ἥλοις
ἐκπίκρην ἀνέτλησε τελευτὴν: ὄφρα γενέθλην
ἀνδρομέην στυγερῷ, φεῦ πεληνιαθεῖαν ὀλέθρῳ
δαίμονος ἠδ' ἀπάτῃ καὶ ἀτασθαλίῃσιν ἑῇσιν
δεινὴν ὀλωλυῖαν, ὀλοφωΐας ἐξωλείας

ἁρπάξῃ

ἀρπάξῃ: συνεργίο δράκοντος, δώματος ἔξω,
ἶφι ἐρύκῃ, δῶ καὶ ὀλύμπια δώματα ναίειν.
τῶν ἀμόθεν νῦν, πνεῦμα θεόπνοον εἰπὲ ἐμοὶ, καὶ
ἴθυνε κραδίην: ἵν' εὔφρονι ταῦτα μενοινῇ
ἐμμελέως νοέω, χαρίεντί τε χεύματι γλώσσης
ἀντὶ τόσων ἀδιηγήτων εὐεργεσιάων
λυτρωτῇ ἐπὶ ἱερὰ φέρω κλέος αἰὲν ἀείδων.

Matth. 26.
Marc. 14.
Lucæ 12.

ΧΡΙΣΤΟ`Σ ἐπουρανίοιο θεοῦ ὁμοούσιος υἱὸς,
μοῦνος ἐπιστήμων, πότμοιο ὅτ' ἤλυθε καιρὸς
σμερδαλέου, βραχὺ μελλέθανεῖν, καὶ πάντα τελέσσαι:
ὄφρα κεν ἐς γενετῆρα, ἀποφθέα κόσμον ἐάσας,
ὑψιμέδοντα ἑὸν παλινοστήσειεν: ἀσέπτοις,
ἐγγὺς ἰουδαίοις, τόθ' ἑορτὴ ἐτήσιος ἦεν,
πανδημεὶ γὰρ πολυκλήιστη, τὴν καλέουσι,
πάσχ' ἱεροπρεπὲς: εἶτα θεόσσυτα χείλε' ἀνοίξας,
πᾶσι συναγρομένοισι δυώδεκα εἶπε μαθηταῖς.
ὔμμες εὖ οἴδατε, ὅτι μετ' ἠοῦς ἠριγενείας,
κραιπνοφόρους δύ' ἑλίγμους, πάσχα τὸ ἄξομεν ὁρτήν:
καὶ χρόνος ἐγγύθι καίριος ἤλυθε, λοίσθιος ὥρη
ἵσταται, ὄφρα κεν ἀνθρώποιο ἀναίτιος υἱὸς,
ἑβραίοις παραδωτ' ὀλοοῖσιν, ἐς αἰπὺν ὄλεθρον,
ἤ γὰρ ταθεὶς χθονὸς ὑψόθι, ἐσκολοπισμένος εἴη.
τὴν γὰρ ἀρχέκακοι καὶ ἀτάσθαλοι ἀρχιερῆες,
ἡγεμόνες τε θεοστυγέες, τ' ὀλοφώιοι, ἄνδρες,
σχέτλιος ἦ γὰρ χορὸς φρενολήπτων δημογερόντων,
λάθρα λόχον φθονερῆφι μενοινῇ μηχανάοντες:
εἰς ἓν ἀολλίσθησαν ἔσω, πολυχανδέος οἴκου
χαΐαφ', ὃς πέλε ἀρχιερεὺς λυκάβαντος ἐκείνου.
φραζόμενοι, κακὰ ἐρράψαντο διαμπερὲς, ἠδὲ
μῆτιν ἔθεντο: ὅπως τὸν ἀμύμονα υἷα θεοῖο,

Filius Dei venisse sibi à patre præfinitã mortis horam discipulis indicat.

Pontifices & seniores cum suis Symmistis concilium cogunt in atrio Pontificis aduersus Christum Domini.

Psalm. 22.
Sapient. 2.
Circumueniamus iustum.

ἠπερο-

ἢ προπᾶσι λόχοισι, δυναίντο τάχ' ἐξεναρίξειν,
ἄψ καὶ ὀλέσσαι, ἐλεγχίστῳ καὶ ἀνηλεῖ πότμῳ
χείλεσιν ἀλλήλοις φθέγξαντο, δολόπλοκον αὐδήν.
Νῦν τί τεύξομεν; ἄμμι τί ἐστιν ἄριστον; ἀλήτης
οὗτος ἀνήρ, διὰ νωιτέρης νῦν πείρατα γαίης,
θρυλλεῖται σπερμάδην, ἡμείων ἀντὶ δίδαγμα
ἐξηλλαγμένον, ἠδὲ πολύτροπα θαύματα φαίνει,
οἷσιν ὅλην πενίαν, καὶ ἱερὸν ἄστυ κορύσσει,
ἡμέτερόν τε παραπλανάει, ταχυπειθέα δῆμον.
ὣς οἵγ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο.
Δύσθεος ὤν, πάμπρωτος ὑφαίνειν, ἤρχετο μῆτιν: *Caiphas, qui eo anno Pontificatum obtinebat, interrumpit Iudæorum querelas & consilium dat de perdendo Iesu.*
πᾶσιν ἀνιστάμενος, πυκινὴν καὶ ἠρτύετο βουλήν,
Καΐαφας ἀπόπεμπτος: ὃς ἄλλων ἦρχ' ἱερήων,
διζέμενος μιαραῖς, Χριστῷ φρεσὶ δεινὸν ὄλεθρον.
ὦ φίλοι Ἑβραίων ἱερῆές τ' ἠδὲ μέδοντες *Oratio Caiphæ ad seniores.*
ὀτραλέως ἐμέθεν νῦν κέκλυτε, πυκνὰ νοοῦντος,
καὶ πάνυ ὑμετέρῃσι παραιφασίῃσι πίθεσθε.
εἶ γὰρ ἀπορρίπτειν χρὴ ἀλίσβην, ἠδένυ μῆχος
εὑρέμεν οὐ δυνάμεσθα πορισμὸς ποῖος ἀπαρτὶ
ἄμμι ἀέξεται, οἱ γὰρ ὁμιλαδὸν οὗλος ὅμιλος
ἕσπεται, αἰὲν ὑπέρτατα σήματ' ἑοῖο δεδορκώς:
εἰσέτι ἦμαρ ἐπ' ἦμαρ, ἀπείρριτος αὐτῷ ἐπιρρεῖ
ὄχλος, νῦν φῆμις διὰ γὰρ πεπότηται ὅλην γῆν
τοῦ πέρι, καί σφε σέβονται ὀλύμπιον οἷά τε μάντιν.
ὡς ἢ καὶ αὐτὸς φησί, χέων δαμασίφρονα μῦθον.
τοῦτο μὲν ἔσσεται ἀγχίμολον, πάνυ αἰσχρὸν ἀκοῦσαι.
πατρίδι γῇ μέγα πῆμα, πόληΐ τε, παντί τε δήμῳ.
ῥωμαϊκοῖς καὶ ἀρηϊφίλοισιν ἕλωρ καὶ κῦρμα,
εἶτα γινόμεθ' οἱ ἠνορέαν καὶ κῦδος ἕλουσι
ἱερὰ καὶ ἠμύσει συναγομένη πόλις ἡμῶν
χερσὶν ὑπ' ἐχθομένῃσιν ἀλοῦσά τε περθομένη τε

τοῖα μοὶ οὖν κατὰ θυμὸν ἐνηέα φαίνετο βουλὴ
ξυνὸν καὶ ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ
εἶναι ἄριστον ὑπὲρ λαοῦ ἕνα πότμον ἐπισπεῖν,
ἢ χάριν αὐτοῦ ὅλον ἔθνος ἰουδαίων ἀπολέσθαι
σὺν ἄνδρ᾽ ἡμετέροιο ἀναυξέος, ἠδὲ καὶ ἐνιπῆς.
τοὔνεκα χρὴ κακὰ ταῦτα μελεῖν, καὶ μήδεα πυκνὰ
ἐκζητεῖν, βράχ᾽ ὁπῶς τὶν σωμύλον ἐξολέσωμεν.
ἀλλὰ δόλου μέτα καὶ μετ᾽ ἐνέδρης πάντα γένηται
ὄφρα πολυκληΐστῃ ἐν ἤματι πάσχατος ἱεροῦ,
μὴ ταραχή τε διχοστασίη τε ἐρώρῃ ἐπισφαλὴς,
καὶ δόλος ἡμείων θανατητίκος, οὐδὲν ὀνήσει.
τοῦτο ἐγὼ νοέω καὶ εἶναι ἄριστον ὀΐω,
εἰ μή τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει.

Ὣς ἄρα οἱ φρονέοντι δαάσατο κέρδιον εἶναι
πᾶσι θεοστυγέεσσι κακὴ φρεσὶν ἰουδαίε βουλὴ.

Iudas teterrima impulsus auaritia ad nefarium proditionis flagitiũ patrandum, sponte se offert.

Αὐτὰρ ἐπεὶ τέχνασμ᾽ ἀσεβεῖς, περίοπτον ἔπηξαν
μυςίπολοι, μόλε χρυσομανὴς βροτὸς ἄλλος ἰούδας,
δύσθεος ὢν, πικτὸς κακὸς, ἄχρειος, ἠπεροπευτὴς
οὐλόμενός θ᾽, ᾧ αἰὲν ἀήσυλα ἔργα μέμηλε:
κἀκεῖνον καλέεσκον ἐπώνυμον Ἰσκαριώτην,
εἷς γεραιοὺς περιπάροιθε, δυώδεκα χριστοῦ ἑταίρων:
οὗ νιν φθισήνωρ κραδίην, κακὸς δύσατο δαίμων
δύσμορος οὗτος ἀνὴρ, ἐς ἀσέπτων χάζετο βουλὴν
αὐτόματος, φθισήνορος οἴστρῳ ἶφι διωχθεὶς
τοῖον ἔπος καὶ πᾶσιν ἔφη ἀπατήλια εἰδὼς

Iudæ auro insanientis ad Pontifices oratio.

ἠγάθεοι φίλοι ἄνδρες ἐπίσταμαι ὃν τρόπον ἄμμε
ἀφραδέως μετ᾽ ἡσυχίης, βραχὺ χριστὸν Ἰησοῦν,
ὅν γε συγεῖτε λίαν παραδώσομαι. οὕνεκα πάντες
νῦν πείθεσθε καὶ εἴπατε ἐγκαθέτῳ πόσον εἶθαρ
δοῦναι ἐμοὶ θέλεθ᾽; οἱ μὲν ἀτάσθαλοι ἄσμενον ἦχον,
οἷς ἐνὶ οὔασι δέγμενοι, κηρόθι ἐτρυφάοντο

δυσσεβέεσιν γὰρ πᾶσιν ἑαδότα μῦθον ἔλεξε.
καί μιν ἀμειβόμενοι. μῦθον πρὸς τοῖον ἔειπον.
τόνγ᾽ εἴ πως σὺ δύναιο λοχησάμενος ζωγρήσειν
δώσομεν ὤρειστόν, τε καὶ ἄξια δῶρα πόνοιο
δώσομεν ἀργύρεια τριάκοντα τεΐν, τὸ γέρας σοι
ἠδέ κε μισθὸς ἔσεται· ἀρ᾽ οὐχὶ σὺ φείδεο τέχνης.
καρπαλίμως κακοκερδίῃ, βεβλαμμένος ἀνὴρ,
τοῖσιν ὑπέσχετο καὶ κατενεύσατο, ἀργυροτρώκτης
κέρμα ἐνὶ χερσὶν ἑλὼν, δρόμεν ἴουε, σοῦ μὲν ἑάσας,
καὶ τούτου ἥπτετο, δόλου μεμνημένος αἰὲν,
ὀτραλέως, καὶ κρύβδα κατὰ φρένα, καὶ κατὰ θυμὸν
μερμήριξεν, ὅπως ὀλοφώιον ἔργον ἀνύττων,
ἢ τάχος, ἐγκαίρως στάσεως ἄτερ ἠδὲ κλόνοιο
ἀρχεκάκοις ἱερεῦσιν, ἀμύμονα υἱὰ θεοῖο,
ἐς βροτόεντα μόρον προδιδοίη, ὥσπερ ὑπέστη.
† τῆμος δ᾽ ἀρνοφάγοιο προσαββάτου, ἔτραπεν ἦμαρ,
ᾧ ἐνὶ πάσχα θύεσθ᾽ ἐράνοις δέον ἔσκεν ἀνάψαι,
ἱερὰ καλὰ ποιεῖν κατὰ θεσμὸν. ἄγχι φανεὶς δὲ
εἰρόμενοι χριστῷ ζάθεοι φοιτηταὶ ἔφησαν
κοίρανε ἄμμιν εἶπε ὅπου μεμάῃ ἵνα ἡμεῖς
νῶϊ προκέλευθοι ὁδευόμενοι, τεΐν ἀρνα ἄμωμον,
ἄζυμον ἠδὲ καὶ ἐπεντυνώμεθα. χεῖλε ἀνοίξας
ἄγχι παρεσταμένω δύο ἤϋε μυστὰ κάλεσκε
ἀσπαλιῆα Πέτρον μέγα ὃν περὶ κῆρι μαθητὴν
παντοίην φιλότητα φιλήσατο, τοῖσιν Ἰησοῦς
ἀμφοτέροισι, μίαν. ξυνώσατο εἶθαρ ἰωὴν.
ἄμφω ὁμοῦ τι ἐΰκτίμενον ποτὶ ἄστυ θόασθον,
καὶ ὑμῖν πελάων ἐπιβησαμένοισι πόληος,
δοῦλος ἀγχίμολον φὼς, οἰκόθεν ἀντιμολήσει,
νάματος ἀμφιφορῆα φέρων ἐγκύμονα χερσὶν
κείνῳ ἐφέσπεσθον τὸ ἔσω ἀργυφέοιο μελάθρου,

Responsio Iudæorum cum promißione remunerationis & præmij.

† Prima azymorũ dies, erat quarta decima primi mensis luna, qua inter vesperas agnus mactari & omne fermentum abijci solebat.

Discipuli Christum interrogant vbi Pascha sibi parari velit.

Mittuntur discipuli ad præparandum Pascha.

Cœnaculum à Christo monstratur. putatur hoc cœnaculum esse in quo latuerunt discipuli post resurrectionẽ & vbi acceperunt spiritũ S. Iohan. 20. Actor. 1.2.

κ' ἐστάμωνι πιφαύσκετε, μειλιχίοισιν ἔπεσσιν.
κοίρανος ἡμέτερος τεῖν ἔσσεται, ἐνεγγὺς ἱκάνει
καίριος ὥρη ἐμή, καταγωγίου ἔνδοθι σεῖο,
ἵεμαι ἠγαθέοις μύστῃσι σὺν ἔδμεναι δόρπα.
καρπαλίμως δείξει πολυχανδέα ὔμμι ξενῶνα,
ἐνδυκέως σμηθέντα τε καλλωπίσμασι, πάντῃ
λεγνώδεσσι στρησάμενον, σκευάζετε δεῖπνον

Discipuli mādatum ex præscripto Christi exequuntur.

αὐτόθι, οἱ δ' ἄρα οὐ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
λεπτὴν καρπαλίμοισι τρίβον, ποσὶν ἐξανύσαντες,
ἱερὸν ἐξαπίνης πτολίεθρον τ' εἰσαφίκανον:
ἠδ' εἰς ἀμφοτέρω σταθμούχου δώματα βῆτην,
καὶ μὲν δ' ἠσπάζοντο πρόχειρά τε πάντα κίχησαν
θεσπίδι Ἰησοῦς καθάπερ προέλεξατο μύθῳ.
οἱ πεπονήατο πάσχα, μίαν δάγνυντο τράπεζαν
ὀτραλέως περὶ δεῖπνον, ἐνὶ μεγάροισι πένοντες,
πάντα ἑτοιμασάτην, ἅτε δαῖς χρεῖος εἶχε κομέτην.

Ad præparatū cœnaculum vesperè Christus venit & cum duodecim accumbit.

Ἀλλ' ὅτε ἐς δύσιν ἀχλύπεζαν ἐπείγετο Φοῖβος,
ἐκ περάτης καὶ ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ,
πᾶσιν ἀμαυροτάτην, ἄφαρ ἀνδράσι νύκτα κομίζων:
δὴ τότε σὺν ζαθέοις μύστῃσιν ἐδύσατο Χριστός,
οἶκον ἰοστέφανον: μεμαὼς πάνυ πάντα τελέσσαι
πρὶν μοῖραν θανάτοιο παθεῖν. τότε πᾶσι κέλευε
φοιτήτῃσιν ἑοῖσι μιῆς ὑπὸ κύκλα τραπέζης
ῥίμφ' ἧσθαι στεφανηδὸν ἀνίαχε κεκλιμένοισιν

Filius Dei magno cum desiderio animi, gaudioq; Typicum Pascha celebrans, cum discipulus cœnat.

ὦ φίλ' ἑταῖροι ἐμεῦ μεγάλως ἐκράτησεν ἐέλδωρ
θυμὸς ἐμὸς καὶ ἵμειρε μεθ' ἡμῶν πάσχα τὸ ἱερὸν
τρώγειν, πρὶν μογέειν ὀλοώτατα πήματα, καὶ πρὶν
μοῖραν, ὅπως θεόθεν πέπρωται, ἀπηνέα πάσχειν.
φῆ: καὶ ἄφαρ πανάγεσσιν ἑαῖς παλάμῃσιν ἔδεκτο
ἄρτον, ἔπεσσι τοκῆ' εἰδὼς χάριν ὑψιμέδοντι.
ἔκλασε, κεκλιμένοισι καὶ ὤρεγε τίρνας ἐνίσπων.

ξύμπαντες

ξύμπαντες λάβετε καὶ τοῦτο φάγεσθε ἀληθὲς
τοῦτο, ἔφυ κρέας ἡμέτερον τόδε ἀμπλακιάων
πλαγχθέντος κόσμοιο ὑπὲρ ἐς ἀνηλέα πότμον
ἐγγυαλίζεται. ἡμέτερον δέμας ἐσθόμενοι δὲ
νωλεμὲς ἐκπικροῖο ἐμεῦ, μιμνήσκετε πότμου.
ἐξομόθεν καὶ οἴνοιο πλέον, χείρεσσι κύπελλον
δέξατο, καὶ ἱκετεύσας ἀειζώοντα τοκῆα,
ἠγαθέοις μύστησιν ὄπασσεν, ἀστεμφέα μῦθον
φθέγξαθ᾽: ὁμαρτῆ ἅπαντες πίνατε, οἶνος ἐμεῖο,
ὃν νῦν ὔμμι ὄρεξα, ἐτήτυμον αἷμα πελέσκει.
αἵματος οὖν τούτου ποσάκις γεύσησθε δαφοινοῦ
αἱματόεντος, ἐμοῦ τότε μνήμονες ἔστε μόροιο.
ἀτρεκέως ὑμῖν ὀαρίζω. ὅτ᾽ οὔπω ἀπαρτὶ
τὴν, οὐ ἐγὼ οἰνοῖο διατρυγίου μελεηδῆ
ἐκφορέην πίνω, εἰσόκεν ἦμαρ κλειτὸν ἱκάνει
ὅκκα νέον πολυφέρτατον ἐν βασιλείᾳ ἀγαστῇ
παμμεδέοντος ἐμεῦ γλυκέταο, σὺν ὔμμι πίνωμαι.
Αὐτὰρ ἐπεί, δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν
δὴ ῥάνυ χρυσομανὴς, βεβολημένος οἴστρῳ ἰούδας,
δαίμονος οὐλομένου, ἵν᾽ ἀμεμφέα ἦα θεοῖο
ἑβραίοισι θεοστυγέεσσι προδοίη ἀναιδὴν.
εὖ μάλα χριστὸς ἐπιστάμενος ὅτι πάντα κυβερνᾶν
χερσὶν ἑῇ θεὸς ὑψιμέδων ἐπιπάγχυ ὄπασσε:
ὅττι κε ἀστερόεντα, πόθεν μόλε πρόσθεν, ὄλυμπον,
νόστιμος αὖθις ἄνεισι, ἀλήτην κόσμον ἐάσας.
ἐξαπίνης ἀνάϊξε, λιπὼν ἕδος ἔνθα θάασσεν.
τοὔργον ἑτοῖμος ὑπηρετικὸν δρᾶναι οἷσι μαθηταῖς.
εἵματ᾽ ἄφαρ σφέτερ᾽ ἐξαπέδυνεν καὶ θέτο φᾶρος
λεπταλέον τε εὔστιπτον: περονατρίδα ἄλλην
ἀμφὶ ψόαις ἐσφίγξατο: καὶ γλαφυρὴν ποδονίπτραν
χερσὶ λαβὼν, ὕδατος πιμπλήσατο κοίρανος, εἶταρ

Institutio sacrosanctissimae Eucharistiae.
1.Cor.11.
Iohan.14.
Christus seruili sumpta persona surgit à coena, praecinctus linteo & aqua in peluim infusa discipulorum suorum pedes lauat,

νάματι ἁγνῷ, ἑῶν λοέειν πόδας, ἤρχετο λατρῶν.
ἰκμάδα καὶ ἀπέμαξε ῥοωδέα, μίτρῃ ἀραιᾷ,
ἥ νυ ἔην ἐζωσμένος· ἑξῆς, ἄλλον ἐπ᾽ ἄλλῳ
νίψατο. πρῶτα γέροντα πέτρον ποτὶ, κραιπνὰ ἱκάνει
κἀκείνοιο πόδας λελιημένος ὕδατι λούειν.
αὐτὰρ ὁ ἀντιάχησε ταχὺ πόδας ἐξανακρούσας.
χριστῷ ἄνακτι γερούσιον ἔννεπε μῦθον ἐνίσπων,
κοίρανε παμβασιλεῦ λοέεις σὺ ἐμὼ πόδε; αὖθις
ἀνταίροντι σίμωνι, ἀνίαχε χριστὸς ἰωῇ.
ἔργμα, τόδε νῦν αὐτὸς ἀνύω, οὐ σὺ δαῆναι
ἔστι δυνή: δὴ ἄρα ἐξοπίσω πάνυ πάντα συνήσεις
υἱ θεοῖο σίμων ἔπος αὖτ᾽ ἐφθέγξατο τοῖον.
οἷά τε χωόμενος, κρατερῶς ἐξέσπασε γυῖα.
οὔποτε χερσὶ τεῇς, ῥυπαρὼ πόδε μεῖο λοήσεις,
εἰσόκεν ἔρπει ἀμήρυτος αἰὼν δῖος Ἰησοῦς.
εἶθαρ ἀμειβόμενος, ἠνίπαπε πέτρον ἰωῇ.
αἴκεν μὴ τὺ καθαρσίῳ ὕδατι νίψω ἔγωγε,
πάγχυ τεὶν μερὶς οὐδεμίη μετ᾽ ἐμεῦ ὃ ἔσσεται.
τοῦτο Σίμων ἐπακούσας ἐκταρβημένος ηὔδα,
ὦ ᾽ναξ, οὐ μόνον ἡμετέρους πόδας, ἀλλά τε χεῖρας
ἀμφοτέρας, κεφαλὴν, καὶ ὅλον χρόα νάματι νίψον.
ἂψ ὁ ἄναξ εἴρηκε νεωστὶ λοεσσάμενος χρὼς,
οὐ χρηΐζει ἐπάψ κλυσμοῖο νεορτοῦ, ἀνίπτοι
πλὴν ἵνα φαιδρύνοιντο πόδες, λιαροῖσι λοετροῖς:
ἄχραντοι. καὶ ἄνευ σπίλοιο πέλεσθε, φεῦ, αὐτὰρ
οὐχὶ ἅπαντες ὁμαρτῇ. οἶδε γὰρ εὖ μάλα θυμῷ,
τὶς πέλε φὼς μιαρὸς, συνεροῖσιν ὃς, αὐτὸν ἑβραίοις,
μέλλε δόλῳ. παραδοῦναι, τοὔνεκα λέξεν ἑταίροις.
ἀχρανέες νυ πέλεσθ᾽ ὑμεῖς, ἀλλ᾽ οὐχὶ ἅπαντες.
Αὐτὰρ ἐπεὶ πάντων ἐλοέσσατο γυῖα μαθητῶν,
Δούλιον ἐκτελέσας θεὸς ἔργον, ἐδέξατο ἕσθον

Petrus suos à filio Dei lauari pedes renuit idq; ex ignorantia & præpostera reuerentia.

Concertatio Christi cum Petro.

Christus Petri ignorātiā primo instruit.

1. Simon acrius resistit filio Dei idq; ex pertinacia & zelo, sed non secundum scientiam.

2. Retundit ipsius pertinaciam.

Nisi quis à Domino lotus fuerit, partem cum eo in Dei regno habere nequit, ipse enim suos cohæredes prius purgat, q̃ hæreditatem adire patiatur.

ἀμφὶ χιτῶνα ὃν ἐννυθ᾽ ἃ καὶ πάρος εἵματα ἔσω
νόστιμος αὖτε κάθιζεν ἐπὶ θρόνου ἔνθεν ἀνέστη
πανσπέμενος τοὔργοιο θεήγορα χείλεα λῦσε
οἷς τε φιλοστόργοις ἑταίροισιν μῦθον ἔνισπε
οἴδατε οἷον ἐγὼν ὑμῖν νῦν ἔργον ἔοργα:
ὔμμες ἐμὲ σφέτερον κληΐζετε, ἔμφρονι μύθῳ
κοίρανον, ἠδὲ διδάσκαλον, εὖ μάλα τοῦτο χ᾽ ὑδεῖτε,
ἶφος ἔξαρχος γὰρ ἔφυν, νὺ διδάσκαλος ἠΰς,
εἰ ῥά νυ οὖν, φιλίους πόδας ὑμετέρων λελόηκα,
ὄρχαμος ὑμείων γεγαώς νυ τεδάσκαλος ἠΰς
τὼς ἐμὲ ἐκμιμούμενοι, εὐμενεῖ κραδίηφι,
ἀλλήλων, δέον ἐστὶ, πόδας πλυνέμεν ἐθελήμως,
κηρόθι καὶ φιλότητα μετ᾽ ἀλλήλοισι τίθεσθαι.
νουθετικὸν γὰρ ἐγὼν ὑπόδειγμα μίγ᾽ ὔμμι ὄπασσα,
ὄφρα κεν ἀλλήλους στέρξητ᾽ ἐρίηρι μενοινῇ,
ῥεξάμενοι φίλον ἔργμα, τόπερ πάρος ὔμμι ἔρεξα.
ἀτρεκέως ἔπος ἀσυφέλικτον, τοῦτο ἐτύχθη.
κοιράνου οὐ πέλε δμὼς προφερέστερος, οὐδὲ θεέσκων
ὁ βρύοχος, στείλαντος ἓ ὀρχάμου ἐστὶν ἀμείνων.
εἰ τελέως, τὰ συνοέητε, πράξει μίγδην
ἐκκτυποήτε, πέλεσθε πανόλβιοι. οὐ περὶ πάντων
ὑμείων φημίζομαι, οἶδα γὰρ οὓς πάλ᾽ ἐδέγμην.
ἀλλ᾽ ἵν᾽ ἄεισμα, τόπερ θεόπνευστος ἔμελψε προφήτης
ψαλμοχαρὴς, φρένα τερπόμενος φόρμιγγι λιγείῃ.
εἴη ἀναμφιλόγως τετελεσμένον. ἄνδρα συναυλον
ἄρτον ἐμόν τρώξαντα, διαῤῥήκτην ἀσυρῆ, καὶ
ἐχθρὸν ἄνοικτον ἔχον, λὰξ πτέρνῃ ἐμ᾽ αἰνὸν ἔκοψε.
ἴδμονι νῦν ὑμῖν μέλλοντα φατίσσομαι ὀμφῇ:
ὄφρ᾽ ὁπόταν τελέθῃ τάδε, ῥίμφα προάγγελα μεῖο
θέσφατ᾽ ἀναμνήσησθε, ἅπερ πάρος ὔμμ᾽ ἐλάλησα.
ἀμφαδόν. ἀπλανέσι κραδίῃσιν πίστιν ἔχοντες:

Ad finem ducto seruili opere rursus se proprijs vestimentis cingit. Mysterium lotionis pedum à Christo exponitur.

Discipulus nõ est supra magistrum.

Psalmo 41. Qui edit panẽ meum sustulit contra me calcaneum.

ὅττι

ὅττι περ, αὐτὸς ἔφυν, θεοῦ ἄγιος υἱὸς Ἰησοῦς.
ἀσυφέλικτον ἔπος ὀαρίζομαι ἀμὴν ἀμήν.
ὅστις ἀνὴρ θεράποντος ἐμεῖο, ὃν ἔγωγε ἰάλλω
ἀσπασίως δέξηται, ἐμ' ἄρνυται: ὃς δ' ἄρ' ἐκεῖνος
φὼς ἐμὲ δέξηται, δέχεται γενετῆρα καὶ αὐτὸν
ἡμέτερον θεόν, ὅς ἐμὲ προέηκεν ἐπὶ χθόν' ἀλήτην.

Christus turbatur spiritu.

Ὣς ἄρα φωνήσας: ἐδονήσατο πνεύματι χριστὸς
καὶ εἷλεν μὶν θόρυβος, τε ἐπὶ φρέν' ὀδεύσατο τύρβη.
δὴ τότε μύστησιν μυθήσατο, μάρτυρα μῦθον.
εἷς ὁμολόβρος ἀνὴρ ὑμείων ἔπλεθ' ἑταίρων.
ἑζόμενος μετ' ἐμοῖο, μιῆς ὑπὸ κύκλα τραπέζης,
ἄρτον ἐμὸν βορράσας, ἐπ' ὀνείατα χεῖρας ἰάλλει:
ὃς βραχύ με στυγεροῖσιν ἰουδαίοις παραδώσει.

Discipuli sese intuentes sciscitantur, quis illud Deo exosum scelus patraturus sit.

Τὸν δ' ἄρα μῦθον ἐν οὔασι δεγμένοι, ἐσθλοὶ ἑταῖροι
εἰς μέγ' ἀνιάζεσκον, ἑὰς ἐλέλιξεν ὀπωπὰς,
χείλεσι μυθήσαντες ἀμοιβαδὶς, εἰσορόωντες
ἔνθα καὶ ἔνθα πρὸς ἀλλήλους, ἐπιτηδὲς ἀσέπτου
ἀμπλακίης ῥεκτῆρα ἐρευνῶν, οὕτω ἐροῦντες.
σχέτλιος ἡμείων τὶς ἔφυ, φὼς ἠπεροπευτής,
ὃς μάλ' ἀναιδείην ἐπιειμένος, ἔργμα βέβηλον,
τοῦτο κ' ἄσεπτον ἄγος τολυπεύσει; ἄφαρ καὶ ἄνακτι
ἄλλος ἐπ' ἄλλῳ ἔφη, εὐηθίαν ὄμμασι φαίνων.
κοίρανε μήτι κακοῖσι δόλοισι κεκασμένος εἰμὶ;
δύσμορος ἢ προδότης; βραχὺ ὅν συ ἔμελλε φυτεύειν,

Christus fidelißimè in tempore Iudam admonet & quanto cum scelere conatus coniunctus sit subindicat.

θαρσαλέως ἀπάτηλον ἄγος ἐφθέγξαο: χριστὸς
αὖθις ἔπεσσιν ἀμείβετο, ἐστε δυώδεκ' ἀριθμῷ
ἐνθάδε ἑζόμενοι στεφανηδὸν, ἐεῖς καὶ ἀσελγὴς
ὑμείων πέλε φὼς, μετ' ἐμοῦ ἐὰ χεῖρε τανύσσας,
ἐς λεκάνην, τὸν βλωμὸν ἐβάπτει: κεῖνος ἄσωτος
λύσσαν ἔχων ὀλοήν, θεοεχθέσι μ' ἐγγυαλίξει.
ἄρτι μὲν ἀνθρώπου παῖς οἴχεται αὐτοκέλευστος,

θεσμῷ

δεσμῷ ἀφύκτῳ, ὅπως θεόφιν ὠρισμένον, ἠδὲ
τεύχεϊ ἐν ζαθέῳ πεπυρωμένον ἐστὶν ἀνοικτεί.
ἀλλ' οὐαὶ βροτῷ οὐλίῳ, οὗ διὰ υἱὸς ἄμεμπτος
ἀνθρώπου παραδώσεται. ὠφελιμώτερον ἦν, εἰ
μήποτε κεῖνος ἐγεννήθη ἢ φαέσι φέγγος
ἄγλαον, ἠελίοιο ἔπαυσε, ναινότικος φῶς.

Poena praedicitur, vt quem pudor non vicerat corrigat denunciata supplicia, inquit Hieronym:

Τῷ δ' ὀλειὸς ἰούδας, ἑαυτῷ δεινὰ συνειδὼς,
εἴκελος ἀγνώσσοντι, ἄμυς κ' ἐρέεινεν Ἰησοῦν.
ῥαββὶν μήτι ἐγὼ σὸς ἔφυν προδότης; ὁ δ' ἰησοῦς
εἰδὼς ἃ φρενὸς ἔνδοθεν εἶχεν, ἀμείβετο, εἶπας.

Iudas tanquam nullius sibi sceleris conscius à Christo percontatur num is sit?

εἷς ἑτάρων δὲ θεῖος ἀνήρ, ὃν σφόδρα θεοῖο
παῖς φιλέεσκε, κάρην ἐπὶ στέρνον ἔρεισεν Ἰησοῦ:
τῷδε σίμων, λελιημένος ἴδμεναι ἄνδρα βέβηλον,
νεύμασιν ἀφθόγγοις. ἐπετέλλετο κρύβδα πυθέσθαι:
τίς τελέθει μιαρὸς φὼς, οὗ πέρι χριστὸς ἔλεξε.
αἶψα προθήβης ἠγάθεος ποτὶ κόλπον ἰησοῦ
λοξὸς ἀποκλινθεὶς, μύθοις θεὸν ἐξερέεινεν,
ἀγχίσκων κεφαλὴν: ἵνα μὴ πύθοιαθ' οἱ ἄλλοι.

Iohãnes Christum interrogat.

ὦ 'ναξ, εἶπε ἐμοὶ τίς ἔφυ; ὃ δ' ἀμείβετο χριστὸς,
ᾧ τινι, εἰς λεκάνην βάψας, μελιηδέϊ οἴνῳ
πίρνα βεβρεγμένα, νῦν προτενῶ χερὶ, κεῖνος ἀναιδὴς
ἐστὶν ἐμοῦ προδότης. ὃ δ' αὐτίκα χεῖρα πιτάνων,
ψωμὸν ἐβάψατο, καὶ πόρεν ἀργυροτρώκτῃ ἰούδᾳ

Christus suo proditori porrigit offulam.

ἀγχίμολον μετὰ βλωμὸν, ὃν ὤρεγεν ἀνδρὸς ὀλέου,
φθισήνωρ κραδίης κατάκρας, ἐπεβήσατο δαίμων.
ἄψ στομάτεσσιν ἄναξ, σφετέρῳ ἀγόρευε φωνῇ,
τεῦχεο θᾶσσον, ὅπερ διανύττεις: τοῦτο δ' οὐδεὶς
κεκλιμένων ξυνέηκε, τί μῦθος ἄδηλος ἀνώγει.
φρεσὶ τινὲς δοκέοντο, δ' ἐπεὶ κλοπιμαῖος ἰούδας,
πήραν ἐβάσταζ', ἢ ἐνὶ κέρματα ξυνὰ ἔκειτο.
ὅτι θεῷ γ', οἱ ἔσω ἐκέλευεν ἐπίφρονι μύθῳ:

Sumpta portiuncula Daemõ subit cor Iudae, non quod antea in ipso non fuerit, sed quod modo plenius impoenitentem ageret.

εἰς τάχος ὠνήσασθαι, ὅσα χρέος εἶχον ἐς ὁρτήν:
προῖκά τι, ἢ δόμεναι ταχὺ δευομένοισι πενιχροῖς.
αὐτὰρ ἐπεὶ μιαρὸς ἐρέψατο ἄρτον ἰούδας,
Iudas dæmonis quem in corde habebat æstro agitatus festinat proditionis opus perficere.
ἐξαπίνη ἐκ μεγάροιο ἀπῴχετο, ἶφι σωωθεὶς
δαίμονος οἴστρῳ ὀλεοῦ, ἐπείγετο ὅττι τάχιστα.
δύσθεον ἐκτελέσαι τοὔργον. τότε νυκτὸς ἐρεμνῆς
κυανέη νεφέλη, μακρὸν οὐρανὸν ἀμφιβέβηκε,
ἀνδράσι καὶ καμάτῳ ἀδδηκόσι λῆξιν ἄγουσα.

PARS SECVNDA.

Habita vltima in vrbe cœna, & dicto Hymno montem Oliuarum de more suo cum discipulis egreditur. Matth. 26. Marci 14. Lucæ 22. Iohan. 18.

ΤΗνὶ σχεδὸν μόρου ἧξε χρόνος, καὶ ἐξαῦτις ἀνέστη
Ἰησοῦς, πρυμνοῖο τε δείπνου γιγνομένοιο:
εἶθαρ ἀειζώοντα θεὸν γλυκερῇσιν ἔπεσσιν
ὑμνήσας, καὶ ἀνοῦντες ἅμ' ἀντίθεοί τε μαθηταὶ,
ἐμμελέως χείλεσσι σωοίμιον ὕμνον ἄειδον.
ὡς εἴωθε παρήξατο, ἐς ἐριθηλέα χῶρον,
ἀντιπέρας, κέδρων ὅθι χείμαρρος, μεταίγδην
αἰὲν ἐπεσσύμενος συμβάλλεται ὄβριμον ὕδωρ
ἐν μισγαγκείᾳ, τὸ ἐλαιοτρόφον ποτὶ οὖρος.
τηλέθαον δ' ἐνταῦθα ἔφυ ἀγχιπόρον ἄλσος
πάντοθι μὲν χλοεροῖσι κατασεφὲς εὖ πετάλοισι.
εἰς ὃ θεὸς ξὺν ἑοῖς μύσταισι βέβηκε μιθαικος
κοίρανος αὐτοδίδακτος, ἑταίροις θεσπιδὶ φωνῇ,
τὴν ποτὶ φυταλίην προποδίζων (ἄγλαος ἄρτι
φοῖβος ἐδύσατο, νῦν καὶ ὀρώρει ἀμαυροτάτη νὺξ)
Concio Christi ad discipulos de persecutione & fuga.
ἦρχ' ἀγορεύειν: τοῖς ἀδόκητον ἀνίαχε μῦθον.
οὐ μὴ δὴ δνοφερῆς φθινύθη τῆς νυκτὸς ὁμίχλη,
ἔμπεδα πρὶν τετελεσμένα ἢ ἅπερ ἄρτι πρόφημι.
ῥίμφα χρόνῳ ἐνὶ τοῦθ' ὑμεῖς, ἀναφανδὰ πινύσκω.

σκανδα-

σκανδαλίσεσθ' ἐν ἐμοίνῃ, εἵνεκ' ἰωχμοῦ, ἀπεχθῶν
μοῦνον ἔμ' ἐν μέσσῳ περιλείψατε, κραιπνὰ φυγόντες.
πρώτην Ζαχαρίας γὰρ ἐθέσπισεν ἔνθεον ὀμφήν. *Zacha.13.*
πρὶν, ἐγὼ σπλαγχθέσης ποίμνης, ποιμένα πλήξω:
ὡς τότε σκορπισμὸς γ' ἐνὶ πώεϊ παντὶ γένηται,
μῆλα διασκεδάσας, ἐπιμηλοβοτῆρος ἀρωγοῦ
δεινοπαθοῦντος. ἐπεὶ πότμον δ' ἐγὼ ἶφι δαμάσσω,
νόσιμος ἐξ ἀΐδαο, προβήσομαι ἐς γαλιλαίην.

Χριστὸν ἀμειβόμενος, προσαλέξατος ἔννεπε Πέτρος. **Petri responsio.**
αἴκεν ἅπαντες σκανδαλίσωνται, τοὔνεκα σεῖο:
πρόφρονα μοῦνον ἔμ', οὔποτε σκανδαλίσει τι.
παρθέμενος ψυχήν, καὶ τλήμονα θυμόν: ἀπό σου
τὴν λώβην ἀμυνῶ, καὶ τλήσομαι ἶφι δίωξιν.

Ἄψ φαρυμῷ προσέειπε πέτρῳ, ἤθεος ἰησοῦς.
ἀτρεκέως τὴν ἐνίσπω. ἐμοῖο σὺ σύνθεο μῦθον, **Dominus Petri præsumptionem coarguens se ab eo abnegatum iri prædicit.**
φρεσί τε σῇσιν ἔχεσκε, ἀληθέα γὰρ τεῒν ἔσπω.
ταύτῃ ἐνὶ ζοφοειδέϊ νυκτί, πρὶν οὐρανόθεν φῶς
ἠελίου στίλψαι καταλάμψαν, ἀεῖλον ὀμίχλην:
ἠδὲ πρὶν ἤ, τανυσύπτερος ὄρθριον ᾆσαι ἀλέκτωρ
ἐξ εὐνῆς δίς, τρίς σοῦ ἀπαρνήσαιο λυτρωτήν.

Κοιράνῳ αὖθε σίμων δυσπειθής, ἀντίον ηὔδα.
μὴ σωτῆρ' ἀρνήσομ' ἐμοῦ πότε ψευδέϊ γλώσσῃ.
μέσφα ἔναυλος ἔφυν, καὶ ἐνὶ στήθεσσιν ἀϋτμὴ
μίμνει, ἐμεῦ κ' ὅσσοισιν ὀπωπῶ φάεα βηλοῦ
ἶφι κάρην μεμάως σοι ἀλεξέμεν, ἄορ' ὑφέξω,
τὴν δὲ φίλην ψυχὴν καὶ ὑπὲρ σέο θήσω ἑκόντι.
τὼς ἄλλοι καὶ ἑταῖρ' ἀδαήμονες ἐσσομενάων
συντυχίων, σφετέρης καὶ ἀγηνίας, ὠρκωμότησαν.
ὦ ἄναξ δὴ μάλα μὲν ἡμεῖς ταλασίφρονες ἔσμεν
αὐτίκα σ' ἐμμεμαῶτες ὁμαρτεῖν, ἠδέ τοι αἰὲν
πήμασιν ἐν πάντεσσι πείσεσθ' αἴκε δέῃ νῦν.

ἐν προμάχοισι μένειν, καὶ ὁρᾶν φόνον αἱματόεντα.
τοῖον ἄρ' ὅρκον ἔθεντο, παλαιόμενοι ἐκ τῆς ἀγῶνος.
ἀπερχόμενοι δ' ἀψηφεὶ ἵκοντ' ἐριθηλέα κῆπον,
ῥῶπες ὅθι στοιχηδὸν ἐπηετανοὶ πεφύασι.

Gedſemani locus ad Radices monti, Oliuarũ & exponitur pinguedinis ſeu torcularis locus, ibi enim pingues tauri ſaluatorem obſederunt. Pſal: 22.

Γεδσεμανῆ καλέεσκε σύρων στόμα, ἀγλαόδενδρον
κῆπον: ὃν οἷς ἀνὰ φοιτητῆσιν ἐδύσατο χριστὸς
καὶ μιαρὸς τὴν φυταλιὴν εὖ οἶδεν Ἰούδας,
αἰὲν ἐχεῖ γὰρ ὁμιλαδὸν ἠγερέθοντο μαθηταί.
πλειστάκι χόθεν καὶ ἔσωθεν ἐκεῖθι, θεηγόρῳ ὀμφῇ
κοίρανος εὔχεσθαι, καὶ φοιτηταῖς ἀγορεύειν.
τηνὶ θεοῖο παῖς, ἐπετέλλετο ἀγχιφάνεσσιν
μύστῃσιν, πῆχυν ἐπὶ χρόνον ἧσθαι ἔραζε.
τοῖσι θεοσσύτῳ ἦχον ἐρεύγετο ἀνθερεῶνι.
ἐνθάδε κεκλιμένοι ἐπὶ εὐπετάλοιο πέδοιο,
ἠρέμα συμπαρεδρεύετε, εἰσόκε κεῖσε βεβηκὼς,
ὑψιμέδοντι ἐμεῦ γενετῆρι προσαΐξομαι. ὣς φῆ:

Tres ſibi è numero diſcipulorum ſocios delegit, illos ſcilicet qui ſuæ in monte Thabor maieſtatis ſpectatores fuerant, vt cũ glorioſa viderint, videant & triſtia.

τρεῖς μετέπειτ' ἔλαβεν ἀπονόσφι ἀπ' ἑσμῶ ἑταίρων,
αὐτοκασιγνήτω δύο γὲ κλυτοῦ Σεβεδαίου,
τοῖν μὲν εἷς ἐκαλεῖτο Ἰωάννης, ἑτέρῳ δὲ,
οὔνομα ἦν Ἰακὼβ, ἄμφω πεφιλημένοι ἄνδρε.
καὶ τρίτος ἔπλετο φῶς, ὃν ἐπίκλησιν καλέουσι
κηφᾶν: τοῖσιν ἔλεξέ μοι ἕσπεσθ', οἳ δε μάλ' ὦκα
ἐμμεμαῶτες ἕποντο, καὶ ἄμμιγα εἰς ἕνα θῶκον,
κραιπνὰ προκάζοντ'. Ἀγχίμολον τρόμος ἔλλαβε γυῖ'
Ἰησοῦ, ἀνιῶντο καὶ οἱ φρενὲς, ἔστενεν ἦτορ:
ἤρχετο ταμβεῖσθαι καὶ ἀδημονέειν ἐνὶ θυμῷ.
κῆφε μαθηταῖς ἠγαθέοις, ἀκαχήμενος ἦτορ.

Chriſtus percellitur horrore & triſticia.

Ἧδε φίλη μὲν ψυχὴ, ἕως πότμοιο πικροῖο,
ὅν γε μογήσω ὑπὲρ λυτρώσιος, ἀργαλέη 'στι,
καὶ μέγα με κλονέει, πέλεται δεδονημένων ἦτορ.
μείνατε ὧδε φίλοι ἑταῖροι, πεφιλαγμένοι ἔστε

μὴ τινὰ

μὴ τίνα αἱρείτω βαρὺς ὕπνος, ἐγρηγορόμενοι τε.
νύκτα διήξατ᾽, ἐν εὐχαῖσι τε θεοῖο λατρείᾳ.
νωλεμέως λίσσεσθέ μιν, ὄφρα κεν οὐ μὴ ἐάῃ,
ὑμμέας εἰσελθεῖν, θυμοφθόρον εἰς πειρασμόν.

Christus relictis discipulis ad iactum lapidis progreditur.

Ὣς φάμενος· πόσον παχὺ βήσετο ὅσον ἐνάκμος
τις, σθενέει ἀποβαλλέμενος ἶφι βραχίονι λᾶαν.
ἐξαπίνης δὲ ἥριπε γνὺξ, ἐπὶ ὦπα χάμαζε,
πελιωνὴς ἠδὲ δαφίζετο, σφόδρ᾽ ἤχθησε, πόνησε.
χεῖρας ἀνισχόμενος, λιπαρῇ ἰάχησεν ἀϋτμῇ.

In faciem humi deuolutus cum labore & gemitu se totum in preces effundit.

Oratio Christi ad patrem.

Ὦ πάτερ ἀββὰ κύδιστε, ὃς οὐρανὸν εὐρὺν ἐνοικεῖς,
ῥηΐδιόν σοι ἐστὶν ἅπαν, καὶ ἀνήνυτον οὐδὲν,
κρατίστῃ γὰρ χειρὶ τεῇ, ξύμπαντα κυβερνᾷς.
ὑψιμέδον πάτερ ὀχθίζων σε δείρομαι· ὄφρα
εἰ οἷόν τε πέλ᾽ ὥρα παρέλθῃ, ἀπηνέος οἴτου.
καὶ παρένεγκ᾽ ἀπ᾽ ἐμεῦ περιπευκὲς τοῦτο κύπελλον
ἀλλὰ τόπερ σὺ θέλεις οὐ μεῖο τὶ θυμὸς ἀνώγει
νῦν γιγνέσθω· σεῖο θελήματι κἀμ᾽ ὑποτάσσω.

Reuertitur ad discipulos somno securè sepultos, quos secundo ad vigilantiam hortatur.

Τῆς δ᾽ ἄρα παυσάμενος εὐχῆς, ποτὶ χωρίον ἷξε,
κραιπνὰ ποσὶ προβιβάς, ἐρίηρες ὅθ᾽ ἧσαν ἑταῖροι
συμπαρεδρευόμενοι, γλυκερῷ ἑαλωκότες ὕπνῳ.
τὸν παραστὰς ἐξ ὕπνου ἔγρε καὶ ἤραρε πέτρῳ
Σίμων ἔγρεο, νῦν τί πάννυχον ὕπνον ἀωτεῖς;
οὐχὶ δύνῃ, μετ᾽ ἐμεῖο μιῆς γοῦν ἴχνιον ὥρης
γρηγορέειν, νῶν, λισσάμενος θεὸν ὡς ἐκέλευσα.
τῶν ὑμῖν αὖθις μνήσω, καὶ ἐπιτέλλομαι ὑμῖν·
ἀγρυπνεῖτε, θεῷ τε προσεύχεσθ᾽, ὄφρα μὴ οὔλου
πειρασμοῦ κραδίην, θυμόφθορος οἶστρος ἐλαύνῃ.
ἀνδρομένη μὲν ἄναλκις ἔφυ σὰρξ, ἀδρανίης δὲ
δεῖγμα, καὶ πνεῦμα πρόκλητον ἔφυ καὶ θυμὸς ἑτοῖμος.

Caro infirma spiritus promptus.

Ἔννεπ᾽. ὄπισθ᾽ ἀνεχάζετο· οἱ πάλιν ἤριπον ὕπνῳ,
νήγρετος ἡσυχίῃ κατεβόσκετο, νυκτὶς ἑταίρη.

κάππεσε δὲ πρηνὴς ἐπιδάπεδον, ἐξετανυσθεὶς
κεῖτο ἐπ' οὔδει, ἔω καὶ ἰάχησε τοκῆϊ συταίοσων.
Secundo orat. ὦ μάκαρ ἀχνύμενος σ' ἱκετεύω, τοῦτο ἄλεισον
αἴκεν παρελθεῖν οὐχὶ δύνητ' ἄρα πίνομαι αὐτό.
νυνὶ γινέσθω σεῖο θέλησις θεσπεσίη. δὲ
Recurrit ad discipulos. Ἄψορρον ἀναΐξας, οὓς ποτὶ μύστας ἐφοίτα:
τοὺς ἐκιχήσατο αὐτὰρ καθεύδοντας, καὶ ἀμερίμνους,
τοὺς γὰρ ἰαυτμὸς ἔμαρψε, λύων μελεδήματα θυμοῦ.
καὶ ἡσυχῇ συνηθῶσαι ἔλιπον, νήγρετον εὕδειν,
χείλεσι δὲ σφαλεροῖς ἀλόγιστα τοῖς χριστῷ ἔφησαν.
It oratum tertio iisdem verbis, & in precibus prolixius immoratur. Ἄψ πάλιν ἐς τόπον ἦλθε, μαθητὰς ἐγκαταλείπων.
ἤελιπε δὲ τρίτατον γνὺξ, εὔχετο ἠθάδι φωνῇ.
ὦ πάτερ εἰ δυνατὸν τελέθει, σὺ ἐάε παρελθεῖν
ῥιγεδανὴν ὥρην, καὶ ἀπ' ἐμοῦ παρένεγκε κύπελλον,
ἀργαλέου πότμου, καὶ ἀπέων τίον υἷα ἔρυκε.
ἀλλὰ θέλημα σέθεν ἀγανόφρον, ἀεί νυ γινέσθω.
Angelus coelitus à patre missus filium Dei cum morte luctantem corroborat & consolatur. Ὣς ἄρα λισσάμενος, δ' ἄφαρ οὐλύμποιο καρήνων
βῆ κατ' ἄγγελος, ὑψίστου θεοῦ ἰθυπόρος δμῶς,
παιδὶ θεοῦ ἐξασθενέοντι, ὃς εὐρεῖην καὶ
ἰσχὺν ἐνὶ στήθεσσιν ἐνῆκε, δὲ θυμὸν ἔγειρε
στερνοτυπούμενον: ἠδὲ τοίῃ μὶν τ' ἀμφίχυτ' ὀμφῇ.
Τέκνον ἀειζώοιο θεοῦ τέο μέχρις ἀχεύεις,
ἐκπάγλως στενάχων, φίλον κατὰ θυμὸν ἀγάζεις,
νῦν ἐμέθεν ξυνίες ὦκα, τοκῆος ὁ δ' ἄγγελός εἰμι
ὃς σοῦ ἐγγὺς ἐὼν μέγα κήδεται, ἔξοχον ἄλλων.
ἀνδρομέην τε λεωλεθρίην σ' ἐκέλευε γενέθλην
Guttae sanguineae fusim in terram ex sanctissimo Christi corpore distillant. αἵματί σου ἀπολυτρῶσαι, δὲ ἐξωλείας
ἀρπάζειν συνεχῆς. ἐν ἀγωνίᾳ οὕτου ἀφύκτου.
χριστὸς ἐὼν, μεγάλ' ἐκτενεῖ λιτανεύσατο εὐχῇ.
Οἱ γὰρ δὲ αἱμαλόεις θρόμβοισιν ἀλίγκιος ἱδρὼς,
κήκιεν ἐκ χροὸς ἀχρανέος, ἐρυθαίνετο γαῖα

αἵματι

αἵματι· δὴ ῥατάμιγγες ἀπέσσυθεν αἱματόεσσαι
χρωτὸς ἀπ' ἀμβροσίοιο καί, ἄδην κοχύεσκον ἔραζε.
Αὐτὰρ ἐπεὶ παύσατο προσευχῆς, εἶθαρ ἀνέστη.
καὶ πάλιν ἐς τόπον ἤλυθε, ἠρέμα ποσσὶ βεβηκὼς,
οὗ χαμάδις μίγα ἧσαν ἀτυζόμενοί τε μαθηταὶ
κεκλιμένοι, βαθὺν ὕπνον ἰαύοντες ἀπ' ἀνίης.
κείνων γὰρ φρένας εἷλε λύπη καὶ ἀκαχέατο λίην.
τοὺς διεγερθέντας προσέφη, ἀμέλειαν ἐλέγχων.
Μέχρις τοῦ κατάκεισθε, μὴ ὀῤῥωδεῖτε ἀπεχθεῖς
φίλ' ἑταῖροι, ἐνὶ νηγρέτῳ ἡσυχίῃφι δοκεῖτε
κεῖσθαι, ἀτὰρ χαλεπὴ, ὕμιν ἔγκειται ἀνάγκη.
δήπου ἀπαρτὶ δυνήσεσθ', οὐδέμεν ἠδὲ λοφῆσαι
νῦν γε, τί νῦν κοιμᾶσθ' ἀδεῶς; ἐμβλέψατε θᾶσσον;
λοίσθιος ἐγγύς ἐμοὶ θανατηφόρος ἤλυθε καιρὸς,
ὥρη ἄφυκτος καὶ σχέδον ἵσταται, ὄφρα θεοῖο
καὶ παῖς ἀνθρώπου, ὠμηστῇ ἐς αἰπὺν ὄλεθρον
φωσὶν ὀϊζυροῖς παραδίδωται. ἀλλ' ἄγετ' ὦκα,
στῆτε καὶ ἴομεν ἔνθεν, ἰδοὺ σχεδίην ἀθέμιστος
ἤγγικε φὼς, μιαρῶσιν ὃς ἀνδράσι μ' ἐγγυαλίξει.
νωλεμέως εὔχεσθε ἀλεξικάκῳ, ἵνα μὴ κῆρ.
πειρασοῦ φθισήνορος, οἶστρος ὑπόξυς ἐλαύνῃ.
προδῶμεν, μάλα δήϊος ἄμμι τάχ' ἐσμὸς ἐπέρρει.
ὡς τῶν, νήδυμος ὕπνος, ἀπὸ βλεφάροιιν ὀλώλει.
Αὐτίκα ταῦτα λέγων, θρασὺς ἀγχόθι ἦξεν ἰούδας,
εἷς γεγαὼς προπάροιθε θεοῖο συνέστιος, ἠδὲ
φοιτητὴς, σφετέροιο τὰ νῦν προπλῆρος, ἄνοικτος
ἐχθρὸς καὶ προδότης συγερὸς, μέγα θαῦμα πυθέσθαι.
δύσμορος οὗτος ἀνὴρ, δολίης οὐ λήθετο τέχνης·
ἀλλὰ δολοφρονέων, στρατὸν ἀρχεκάκων ἱερήων,
ἠδὲ θεοστυγέων φαρισαίων, δημογερόντων
δεγμένος, ἡγεμόνευσε καὶ ἐπείγετο, ὅττι τάχιστα,

Tertio venit ad discipulos, somno oppressos, quorum securitatē & somnolentiam reprehendit.

Dux iniquitatis exercitum pontificum odijs ferocem armisq; terribilem, in hortum introducit.

τοὔργον ὀλώιον ἐκτελέσαι, ἐριθηλέα κῆπον
δύσατο, ἐν προμάχοισι φάων, προπάροιθεν ὁμίλου.
οἱ δὲ θεοστυγέες μετὰ ἴχνια ἀρχοροτεώντου
ἰλαδὸν ἐστιχόωντο, σεσαγμένοι αἴθοπι χαλκῷ,
δαιομένους λαμπτῆρας ἔχοντες, καμπύλα τόξα
ἀχθόμενοι σακέεσσι βραχίονας, ἀμπεπαλόντες
ἔγχεα, ῥομφαίας, σκυτάλας, πολεμήια τεύχη.
δεινὸν καὶ βρυχῶντο, φόνον λεύσσοντες ὀπωπῇ.
τοῖσι νεωστὶ θεοπροδότης ἐφθέγξατο μῦθον.
ὑμμέες οἵτε μάλιστα πεποίθατε κάρτεϊ χειρῶν,
πρόφρονες ἀλκήεντι νόῳ, καὶ ἀταρβέϊ θυμῷ,
σπέσθε ἐμοὶ, τμήδην μετὰ ἴχνια βαίνετε μεῖο.
τοῦτο καὶ ὔμμι σαφὲς τέκμωρ καὶ σῆμα ἐσεῖται.
πήχεσιν ὅν γε περιπλήξω, καὶ μεῖο φιλήσω
χείλεσι, κεῖνος ἔφυ βροτὸς, ὃν ἱερῆες ἅπαντες,
λίαν ἀποστυγέουσι καὶ ἱμείρονται ἑλέσαι.
τὸν δὲ λοχησάμενοι, ζωγρήσατε, ἠδὲ βιβᾶσθε,
ἄστυ ποτὶ φρονίμως, οὐ γὰρ κράτος ἐστὶ μέγιστον.
ἴομεν, αὐτὰρ ἐγὼν ἡγήσομαι ἠδ' ἐπιδείξω.
ὣς οἱ τετρηγῶτες ἅμ' ἤισαν, ἦρχε δ' ἄρα σφίν.

Filius Dei instantem necessitatem sciens hostibus sponte occurrit.

Κοίρανος αὐτοδίδακτος, ἰδὼν παρέουσαν ἀνάγκην
καὶ νοέων ἵστασθαι, ὅτι ἐσκολοπισμένος εἴη.
ἀνδράσιν αὐτόματι, κραιπνόσσυτος ἵετο δηΐοις.
ὁπλοφόρῳ παρστὰς στρατῷ, ἄτρομον ἔννεπε μῦθον:
ἄνδρες ἀρήιοι, οἷον νῦν ἀλοπεύετε φῶτα;

Colloquium Christi & Iudæorum.

ἐσμὸς ἰουδαίων ἠμείβετο, ἄφρονι μύθῳ.
ναζωραῖον Ἰσοῦν, ἐκζητοῦμεν ἅπαντες.
δυσσεβέεσσι πάλιν ἀντιάχε χριστὸς Ιησοῦς.
Ναζωραῖος ἐγὼ πέλω ὃν ζητεῖτε ἰησοῦς.
ἀνδράσι καὶ σχεδίην ἀθέοισι παρέστηκ' ἰούδας,
ὃς κακοκερδὴς βεβολημένος οἴστρῳ, Ιησοῦν

ἄφρονι λύσσῃ ἰουδαίοις παρεδώκατο κωφοῖς.
ἀλλ' ὅτε ἰησοῦς μυθήσατο, ἐ ἔμμεν ἐκεῖνον,
οὗ χάριν ἷξαν ὁμιλαδὸν, ἐμμεμαῶτες ἁλίσκειν:
πρηνέες ἐν κονίῃσιν, ἐπ' ἀλλήλοισιν ἔπιπτον,
ἐμβρόντητοι θέσπιδι μύθῳ, ἀόπλου ἰησοῦ.
ῥοιζηδὸν ἀμφί τε σφὶν βράχε τεύχεα ποικίλα χαλκῷ,
καί σφισιν ἔμπεδος ἴς, καὶ κηρόθι κῖκυς ὀλώλει.
Εἴρετο τοὔμπαλιν ἐχθομένους, ὁ χριστὸς ἐνίσπων.
ποῖον, ὦ ἄνδρες, φῶτα τὸ νῦν μαστεύετε χειροῦν.
ἂψ μιν ἀμειβόμενοι, βρυχῶντο θεημάχον ἦχον.
ναζωραῖον ἱκάνομεν ἰησοῦν καταμάρψαι.
λαῷ καὶ αὖτ' ἐφθέξατο κοίρανος, ἤθαδι φωνῇ.
ὔμμι λέληκα ἐναγχος, ἔτ' ἀτρεκέως ἀγορεύω.
αὐτὸς ἐγὼ πέλω, ὃν ζητεῖτε, χριστὸς ἰησοῦς
ναζαρὲθ ναέτης: ἀνυπόθωον εἰ δέ με μοῦνον
ἱμείρεσθε πιέζειν, ἠδὲ βίηφι δαμάσσαι,
τούσδε μὲν ἐμοῖο φίλους ἑταίρους, ἀφίετε ἀφοίνους.
μῦθος ὅπως πληρούμενον εἴη, ὃν πρὶν ἔναγχος
εὐχόμενος, γενετῆρι ἐῷ φράδεν ὑψιμέδοντι.
οὐδεὶς ἐξ αὐτῶν, οὓς μοι σεῖο δέδωκας,
ὤλετο: πλὴν ἕνος ἀνδρὸς ἐλωΐου ἀργυροτρώκτου.
Καρπαλίμως προδότης ἀθέμιστος, πρῶτος ὀρούων,
ἐγγὺς ἵκανεν, καὶ λόχον ὁρμαίνων κατὰ θυμὸν,
ἵστατο πρόσθεν, δεινὰ ὁρῶν, ἂψ ὦρτο ἐπ' αὐτὸν
βεβρυχὼς: ἀμ' ἰουδαίων ἕποντο φάλαγγες,
δυσμενέες σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι.
καὶ θεὸν ἐξαπίνης ἐπεὶ ἠπεροπῆι προσηύδα.
ῥαββὶν χαῖρε καὶ ἀμφὶ ἐχεύατο πήχεε χριστὸν
χείλεα φαιδρὰ φιλήσατο, χείλεσιν ἰοβόλοισιν.
ὣς ἄρα ποιήσας. δολίην θεὸς ὄσσετο τέχνην,
ἐνδόθι χ' ἃ φρενὸς εἶχεν ἀνὴρ ἀλιτήριος εἰδώς.

Phalanges & catervæ militum miti salvatoris respon so sternuntur. August: Tract: 112. Ego sum (inquit) & impios deijcit, qd iudicaturus faciet cum iudicandus hoc fecit? quid regnaturus poterit cũ moriturus hoc potuit. Secundò interrogat.

Iudas impetu fertur in Christum & osculum figit non amoris sed proditionis signum. Arator lib. 1. Qui signifer oscula figens, Pacis ab indicio, bellum lupus intulit agno.

κῆφε ἀμοιβαδὶ μύθῳ, ἑῷ δολόεντι φονῆϊ.
ὦ ἑταῖρ' ἀνθ' ὅτου ἥκες; ἀτασθάλῳ ἑσμῷ ἰούδα,
ἀνθρώποιο σὺ ἦα, φιλήματι νιῶ παραδέδωκας;
πανταχόθεν, τότ' ὀϊζυροὶ, καὶ ἀμείλιχοι ἐχθροὶ,
† χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀσπιδιῶται
ἀμφὶ οἱ ὡρμήθησαν, ἄφαρ καὶ ἀφειδέσι χερσὶν
μαρψάμενοι, κρατεροῖσιν ἐπισφίγξαντε ἐ δεσμοῖς.
Αὐτὰρ ἐνὶ βλεφάροισι παροῦσαν ἰδόντες ἀνάγκην
ἀγχιφανεῖς φοιτῆται, ἑῷ οἱ ἄνακτι ἔπεσπον,
ἔνδοθι φυταλίης πολυδενδρέος, ὀργίλῃ αὐδῇ,
ἐμμεμαῶτες ἀοσσῆσαι θεῷ, ἐξερέεινον.
ὦ ἄναξ, εἰ νὺ σὺ λῇς, μενεαίνομεν ἀψιμάχειν καὶ
σεῖο ἀμῦναι ἐπιστροφάδην, συφελισμὸν ἄνοικτον.
† Αἶψα σίμων μὴ ἰσχανάων χριστοῖο ἀμοιβὴν,
χερσ' ἄφαρ ἀμφοτέρῃσιν, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
φάσγανον ἐκ κολεοῖο ἐρύσσατο, καὶ δι' ὁμίλου,
ὁρμῇ ἐπαΐξας, ξύφει οὔτασεν, ἀρχιερῆος
δοῦλον ἐπικρατέως, ἠδ' ἄορ δεξιὸν αὐτοῦ
ὠτίον ἀντικρὺς ἀπεργάξατο. κάδδε παρειῶν,
αἷμ' ἀπολείβετ' ἔρραζε ὀπάονι οὐταμένῳ ᾗ
οὔνομα μάλχος μάχλος ἔην, πρόκα πρᾶος ἰησοῦς
εἰρομένοις, φῆ ἐρητύων μύσταισι, φίλ' ἄνδρες
λευγαλέοι νυ πέλεσθε, καὶ οὐ δεδαηκότες ἀλκήν.
δηΐτα μάχης παύεσθε, καὶ ἐάσατε ταῦτα γίνεσθαι.
* χωόμενον τ' ἀγανοῖσιν, ἔπεσι τ' ἠνίπαπε πέτρον,
τὸν καὶ ὀνόμαζε: Σίμων τί νόον βαρύμηνιν ἀέξεις;
ἴσχεο νῦν καὶ λῆγε χόλου, ἐσπασμένον ἄορ
βάλλεο ἐς θήκην, πολέμου ἀποπαύεο πάμπαν.
οὐ γάρ τοι θέμις ἐστὶ μάχεσθαι, νηλέϊ χαλκῷ.
ἔσθ' ἄρα πρηΰτερος, νόμῳ ὅ, τι τεταγμένον ἐστὶ
θνητὸς, ὃς εἰς χόλον οἰστρηθεὶς, φόνον ἔρδει ἀνηλέως.
καὶ αἵματι χεῖρα μιαίνει ἄθεσμον σπώμενος ἄορ:

Christus comprehensus vincitur & sæuis vinculis constringitur. † Petrus stricto gladio impetuose fertur in Malchū pontificis seruum eiq; dexteram detruncat auriculam. * Christus furiosum Petrū miti verbo reprimit. Christus noluit persecutorū sanguine fuso defendi, qui suo sanguine oēs homines redempturus erat. Hinc cōtemplari licebit in magistro patiēte & discipulo percutiente spiritus & carnis affectus, Amb: offic: 3. cap. 3. Illicite vtens gladio peribit gladio.

κείνου ὅμως βιοτὴ ποινήτειρα χαλκῷ ὀλῆται.
ἦ σ' οἴεις, ὅτι μὴ δυνάμαι ἱκετηρίδι ὀμφῇ
εὔχεσθαι γενετῆρα ἐμεῖο, βοητῷ ἀρίστῳ.
ὄφρα κεν οὐρανόθεν μοι, δώδεκα τάγματα, καὶ πλέον
ἀγγελικῆς στρατιῆς, ἰθύδρομα πνεύματ' ἰάλλῃ.
οὐ μὴ, ἐμοῖο ἀγαπητερεῶς γενετῆρος ἄλεισον
πίνω, ἐμοὶ τόπερ αὐτὸς ἔδωκε. τεληθῶσιν πῶς
θέσφατα ὅσα θεόπνευστοι γράψαντο προφῆται.
οὕτω ἄστρα γενέσθαι ἔδει γὰρ πάντα διάμπαξ.

Φῆ καὶ ὀπάονος οὐταμένου, ζωάρκεϊ χειρὶ
ψαύων τραύματος ἔσχ' ὀδυνάς, καὶ ἰήσατο οὖας.
τὴν δὲ θεοῖο παῖς φρενοληπτοῖς ἀρχιερεῦσι
πρεσβυτέροις τε θεοστυγέσιν, φυλάκεσσι μελάθρων,
οὐτιδανοῖς θεράπουσιν ἀρχῆς, ὀλοῷ ἐσμῷ:
οἳ ποτινύσσοντο σφε ἁλισκέμεν, ἤραρε μῦθον.
ἰλαδὸν ὔμμες ἱκάνετ' ἀμαυροτάτην ἐπὶ νύκτα
μαρμαίροντες ἀρῆι, μάχην δριμεῖαν ἐγείρειν.
ὡς ἐπὶ λῃστάρχην μιαρὸν, καὶ ἀλάστορα φῶτα.
ἔγχεα, αἰθομένας δᾶδας καὶ καμπύλα τόξα
ἄορα, ῥομφαίας, πολεμήια τεύχεα δύντες.
ὄφρα με μοῦνον ἀνέγκλητον μάρψητε ἅπαντες,
ἦμαρ ἐπ' ἦμαρ ἑδρεύοντα, λιθώδεος ἔνδοθι ναοῦ,
θεῖα διδάσκων, βλίξ τε πολύτροπα θαύμαθ' ὑφαίνων.
κ' ὑμείων οὐδεὶς, θάρρησέ με χειρὶ πιέζειν,
ταύτῃ ἄρ' ὔμμι φρενοβλαβέεσιν, πέλεν ὥρη ἐρεμνὴ,
καὶ δύναμις ἐρέβους, σφέτερος νῦν θυμὸς ὀλειὸς
ἀμφεχύθη σκοτίην: ἵνα πεπληρωμένα εἴη,
τεύχει θεσπεσίῳ, κεχαραγμένα θέσφατα πάντα.
ἐξαπίνης πάντες, ταλασίφρονες, ἐκ τοῦ ἀγῶνος.
φοιτηταὶ κεκάδοντο, τάχιστα καὶ ἄλλυδις ἄλλος,
ἐτράπετ' ἐς φύξιν πεφοβημένος, οἷον ἀπεχθέων

Iesus salutifera manu decussam à capite aurem sanat.

Apostrophe ad milites qui turmatim ad se confluxerant.

Discipuli trepidantes & pauidi celeriter diffugiunt domino relicto, is nunc solus calcat torcular.

μεσσηγὺς δηΐων, σφέτερον λείποντες Ἰησοῦν.

Adolescẽs pone sequẽs Christum comprehenditur qui relicta sindone qua amictus erat, nudus euadit. Matt. 26. Marc. 14.

ὥς οἱ γ' οὐκ ἔτι δὴν μένον ἔμπεδον, ἀλλὰ κέδασθεν.
τὶς δ' ἦν κε ἡβώτης λελιημένος, ὅσσα ἔγεντο
ὀπηδεῖν, θεοεχθέσιν ἕσπετο, ἐγγύθι βαίνων,
οὐκ ἐσθήματ' ἔχων· περὶ χρωτὶ δὲ σινδόνα ἕστο,
τὸν γ' ἄλλοι παίζοντες ἔφηβοι, ἄγνωστιν ἔμαρψαν.
αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς μένος, ἔνθα καὶ ἔνθα.
ὄμμασι πάπταινεν, τάχ' ὅπῃ φύγοι, εἴλυμα λείψας
λεπτὸν, ἄνευ χλαίνης καὶ σινδόνος ὑμενίοιο,
γυμνὸς ἀποθρώσκων, ἀνεχάζετο κραιπνὰ πόδεσσιν.
πασσυδίῃ θεράποντες ἀμείλιχοι ἀρχιερήων,

Vinctus Christus in vrbem deducitur.

ἄφρονες ἡγεμόνες στρατιῆς, καὶ ὑπηρέται ἄνοικτοι,
καὶ ἄλλοι φῶτες ὀλώϊοι· οἵ μιν ἵκοντο πιέζειν,
ἄρκυσιν ἀρρήκτοισι περισφίγξαντες Ἰησοῦν,
ζευγνύμενοι καὶ χεῖρας ὄπισθεν, ἀνηλεῖ εἰργμῷ
σμερδὸν ἔδησαν, ἐ ἶφι βίηφι δάμασσαν. ἄφαρ καὶ
τὴν αὐτὴν παλίνορσοι ἀταρπιτὸν εἰσελθόντες,
δριμὺ μένος πνείοντες, ἔπειτ' ἀπέρχοντο σιωπῇ,

Milites Pontifici gratificantes ad Annam socerum Pontificis, vinculis constrictum Dei filium, primum ducunt.

εἰσόκε δὴ πυλέων ἐπέβησαν αὐτοῦ ἄστεος ἱεροῦ·
καὶ πρώτιστα, χαριζόμενοι θεοεχθέϊ ἀρχῷ.
τῶν ἀσεβέων ἱερέων, ποτὶ περίφρονα ὑψερεφὲς δῶ
Ἀννᾶ, βίβησαν Ἰησοῦν, πενθερὸς ὅστις ἔην, τοῦ
Καϊάφα, λυκάβαντος ἐκείνου ἀρχιερῆος.
οὗτος ἀνὴρ ἀθέμιστος ἔην, ὃς ἔναγχος ἐν ἔργοις
μῆτιν ὕφαινε, κατὰ Χριστοῦ κακὰ βυσσοδομεύων.
εἶναι ἄριστον ὑπὲρ λαοῦ, ἕνα πότμον ἐπισπεῖν·
ἢ χάριν αὐτοῦ, ὅλον ἔθνος ἰουδαίων ἀπολέσθαι.

Trahitur ad Chaiapham.

καρπαλίμως τηνῶθεν ἀπήγαγον ἀσπιδιῶται
υἱὰ θεοῦ, ποτὶ οἶκον ἐΰκτιμένον, μιαροῖο
Καϊάφ' ἀρχιερῆος, ὃς ἄλλων ἦρχ' ἱερήων.
ἦχι γέροντες πάντες ἅμ' ἠγερέθοντο, μέδοντες,

πρεσβύ-

πρεσβύτεροι μιαροὶ καὶ ἡγήτορες ἄλλοι ἄσεπτοι
εἷς ἓν ἰόντες, ὄλεθρον Χριστῷ ἐμηχανάοντο.
Τῆλε δὲ βάρδιστος, τῷ κοιράνῳ ἕσπετο, Σίμων.
ἄλλος καὶ μύστης μετὰ ἴχνια βαῖνε θεοῖο
τὼ δ' εἰς ἀμφοτέρω βήτην δόμον ἀρχιερῆος:
αὐτὰρ ὁ ἀρχεκάκῳ ἱερεῖ εὔγνωστος ὑπάρχων,
ἀσπασίως παρενεῖρετ', ἔσω θεοχανδέος οἴκου.
γηραλέος δὲ πέτρος ἄγνωστος, ἀπέλλετο οἶος
ἔκτοσθεν πυλάων, ὅπῃ ἕστηκεν, εἰσόκεν ἄλλος
φοιτητὴς νέος, ἂψ ποσὶν ἕρκεος οὐδὸν ἀμείψας,
στῆχε θύραζε, ἔπεσσί τε μειλιχίοισι, θυρωρῷ
προσλιπάρησε θεράπνῃ: ὄφρα κε πέτρον ἐάῃ
ἐσφοιτᾶν. ἡ δ' αἶψα θύρας ὤϊξε δόμοιο.
αὐτίκα τῆς διὰ νεῦμα, λαβὼν τοῦ χεῖρα μαθητής,
ἔνδοθεν αὐλαίης θεοδεγμόνος, ἤγαγε πέτρον.
δὴν τε κάτ' αὐτόθι μίμνεν, ἐνὶ προδόμῳ ἱερῆος.
Ἐν δὲ μελάθρῳ ὀπάονες ἐστήσαντο, καὶ ἄλλοι
οὐτιδανοὶ θεράποντες ἔσαν μίξ, ἐν δ' ἄρα μέσσῳ
αὐλαίης φλογοδέρπνους ἤρεον, ἀνθρακιάς τε
νηήσαντο χύδην τε, περισταδὸν αἰθομένοιο
καύματι πυρσοῦ, ἐθέρμαινον μέλη, οὔ τινα αὐτῶν
στίβη ὑπνοίη δαμάσῃ: δυσχείμερος ἦν γὰρ
νύξ, καὶ νυκτερινὸς ψυχάζετο γαῖαν ἀήτης:
Μεσσοφαὴς δὲ παρὰ θεοεχθέσιν, ἵστατο πέτρος,
θαλπόμενος λαμπρῷ παρὰ καυτῷ, ῥίγια γυῖα.
καὶ λελιημένος, ὀπτεύειν Χριστοῖο τελευτήν.
ἀμφίπολος δὲ θυρωρὸς μέσσῳ ἐνίζανε κύκλῳ,
ἄγρια δερκομένη, βλεφάροισιν ἀναιδέσι, πέτρον
γείτονα, γυῖα θέροντος ἐπ' ἐσχάρῃ, ἐν πυρὸς αἴγλῃ:
πυρσὸς δ' ὡς λύχνοιο λελάμπευκε, φαινόμενος δῶ.
στᾶσα δὲ πρόσθ' αὐτοῖο, πρηόρην ὄμμα ἔρεισε

Simon Petrus eminus dominum suum comitatur ad aulam Pontificũ. Discipulus Pontifici notus intromittitur.

Ministri prunas in atrio sternunt.

Petrus sceleratis astat.

Petrus ad ianuam atrij interrogatur ab ostiaria.

πέτρον ἐς ἄγνωστον· οἱ ἔπος καὶ ἐρεύγετο τοῖον

Prima Petri abnegatio.

μή σύ μαθητῶν εἷς τελέθεις γαλιλαίου Ἰησοῦ;
δὴ ῥα ἕης συνοδηπόρος αὐτοῦ, καὶ συνόφοιτος.

Ambro: Petrus non in monte non in templo non in sua domo Christum negat, sed in aula principis sacerdotum, ibi negat vbi veritas non est, ibi negat vbi Christus captus, vbi Christus ligatus est.

Πέτρος ἐπέρβησεν, μεμαὼς κακότητ᾽ ἀλέασθαι.
ἄψ προπάροιθεν ἀγειρομένων, ἠρνεῖτο λυτρωτὴν.
ὤμοσεν ὅρκον, δὴ μάλα καὶ κρατερῶς ἀπέειπεν,
ἀμφαδίην θεραπαίνῃ ἀνίαχε, ψευδέα βάζων.
ὦ γύναι οὐ πέλομαι ἑταῖρος, γαλιλαίου ἰησοῦ.
οὔποτ᾽ ἐγὼ βροτὸν οἶδα, ἐκεῖνος ἄγνωστος ἐμοί ἐστι:
οὐδὲ νόημι λόγον σέο, εἰμί νυ πάμπαν ἄιδρις.

ἔνδοθι αὐλαίης, ἱερήων ἔξη ὀλείων,
πρεσβυτέρων ἀσεβῶν, πρωτίθρονος ἕζετο βουλή.
εἶθαρ ἀγκώωρ ἀρχιερεὺς, ζηλήμονι μύθῳ,
Ἰησοῦν βαρύδεσμον ἀνείρετο, ὧν περὶ ἑταίρων,
ἀμφί τ᾽ ἑῆς ἁγίης διδαχῆς, τερατώδεος ἔργου.

Seniores in aula Pontificis coacti, vt Deũ suum condemnent.

Κοίρανος ἀρχιερῆα, θεήγορα χείλεα λύσας,
ἄτρομος αὖ ἀπαμείπτο, διαρρήδην νυ ἀλήτη
κόσμῳ, ἀεὶ ἀγόρευον, ἐμὴν ἀψευδέα φωνὴν,
ἀμφαδίην ἐδίδαξ᾽, ἀρίδηλα καὶ ἔργα ἔρεξα
ἐν ὁμάδοισιν, ἐνὶ μεγάροις, βλὶξ ἔνδοθι νηοῦ

Pontifex filiũ Dei interrogat de doctrina & discipulis.

ἧχι ὁμιλαδὸν ἐσμὸς ἄπειρος πάντοσε πάντων
ἑβραίων ὁμαδεύσατο: κρύβδην μήποτε, μηδὲν
χείλεσι τοῖος ἔλεξα, ἐπίκρυφον ἔργον ἔτευξα
μηδὲ δίδαξα. σὺ τίπτε μὲ ἤρεαι; ἠνίδε πάντες

Placidissima Christi responsio.

ἀμφιστάντες, ἐμῆς διδαχῆς ἐπιμάρτυροι ἔστων.
πολλάκι μευ παμπρηήκτορα, οὔασι μῦθον ἀκούσας,
ἔργα τε οἷς φαέεσσι δέδορκαν. τοὺς ἐρέεινε
ἀμφί μου ἔργματος, εἰ ῥέξα ἢ ἀμφαδὸν, ἠὲ κρυφηδὸν.

Agrestis minister Christo alapam infringit.

ταῦτα εἶπε θεοῖο παῖς: ἀθέμιστος ἀίγδην
λογχήτης ἄγχι σταμένος, χειρῷ ὑπὸ γναθμοῦ,
μάρνη ἔδωκε ῥάπισμ᾽ ἀπρὶξ; καὶ πλῆξε παρειὰν

θεσπε-

θεσπεσίην δριμὺ μύθοισί μιν εἶτα προσηύδα
ὦ μάλ' ἀναιδείην ἐπιειμένε, ἀρχιερῆι
ἀξιοτίμῳ, ἔπος ἀμελητὶ σὺ, τοῖον ἔειπες;
αὐτίκα δὴ μάλα σῖγα ἢ πολὺ κύντερα λάψῃ.
σχέτλιος ὡς ποίησε φέρων χάριν ἀρχιερεῦσι.
τοῦ καταμεμφομένου, ἠμείβετο πρᾳὺς ἰησοῦς.
εἰ νὺ κακῶς εἴρηκα τανῦν, ἐπιμέμπτῃ ἰωῇ:
ἀμφὶ κακηγορίης ἐπιμαρτύρου. εἰ δ' ἐλάλησα
ἀμέμπτως, συβαρῇ σὺ δεθέντα τί χειρὶ πατάσσεις.
δύσμορος Ἄννας ἔπαυψ: κρατεροῖς πεπεδημένον εἱργμοῖς
υἷα θεοῦ, κηδέσῃ ἑῷ πέμψασκεν ἀσέπτῳ.

Cyrillus alapis cæsus & illisus est, vt nos illusori Sathanæ illudere poßimus & præuaricationis peccatum fugiamus.

Christus cum suæ percussore expostulat.

πυρκαϊῇ δὲ παρὰ φλογοέσσῃ, σκυθρὸς ἐν αὐλῇ,
δμώεσι μιτρωθεὶς θεοεχθέσι, ἵστατο πέτρος.
θαλπόμενος τ' ἐπιθαλπεῖ πυρσῷ, γυῖα κρυωδῆ.
καὶ βραχὺ ὕστερον, ἄρνησιν τελέωσατο πρώτην,
αὐτίκα ἔξω ἀπῴχετο, καὶ παρὰ ἀντιθύρῳ στάς.
ἆσμα χέειν, τανυσίπτερος ἤρχετ' ἑῷος ἀλέκτωρ.
ἴχνος ἔπαυψ παλίνορσος ἔκαμψε, καὶ ἔνδοθεν αὐλῆς
στῆκε, καὶ ὑπιδάνοισι παρέστηκε, μέσος ὁμίλου.

Petrus ad ianuam stans primum audit gallicinium.

ἐξαπίνης ἄλλη θεράπαινα ὑπόδρα ἰδοῦσα,
ἄγνωστον φαέεσσι ἀναιδέσι πέτρον, ἐκεῖθι
ἑστεῶτ': ἀμφιπόλοισιν ἀγειρομένοισιν ἔνισπε:
ἀτρεκέως κεῖνος συνοδοιπόρος ἐστὶν ἰησοῦ.
ἀλλότριος γὰρ ἐμοὶ δοκεῖ, ἔμμεν ἀνὴρ γαλιλαῖος.
τοῦτο καὶ ἀλλήλοισιν ἀμοιβαδὶς ἠγορόωντο.
οἱ δέ μιν, ὡς εἴδοντο, προσσταδὸν ὡρμήθησαν,
αὐτὸν ἐρειόμενοι, οἱ ὁμόθροον ἴαχον ἦχον.
τίς συ πέλεις; πόθεν εἶς; τίνος εἵνεκεν αὐτόσε ἦξας;
οὐχὶ μαθητῶν εἷς τελέθεις γαλιλαίου ἰησοῦ;
ῥίμφα τὶς ἄλλος ἄσεπτος ἰδὼν, ἐπέρειδε βεβαίως,
αὐδῇ μαρτυρίῃ. σὺ ἐν αὐτῷ ὁμαιχμία ἔσκεν.

ἦρχε

ἤρχε τὸ δεύτερον ἀρνεῖσθαι, ἐπίορκον ὀμοῦσθαι
καρτερὸν, ὡς θεράπουσιν ἐνίσπων, παρθεμένοισιν.

Secunda Petri abnegatio facta in vestibulo.

ναὶ μὴν ὦ φίλοι, ἰησοῦ οὐκ εἰμὶ μαθητὴς,
κἀυτὸς ἀνὴρ, ἐπιπάγχυ ἐμοὶ ἄγνωστος ἐτύχθη.
ἀγχίμολον δ', μιῆς μετὰ σῆμα ἀελλάδος ὥρης.

Simon cõuincitur à militib:

ἀλλοφανῆ ἔφαρ ἄλλος ὀπάων, ἄνδρα δεδορκὼς.
ταυτὶν ἔφη, καὶ ἀναμφιβόλως βασανίσατο πέτρον.
μάψ ψευδορκέτι νῦν ἀπόωμνυς, ἐτώσια βάζων.

Tertia abnegatio corã Pontificis ministris in media aula ad prunam.

νημερτὲς σὺ πέλεις ἑταῖρος ἑαλωκότος ἀνδρὸς
ἀλλόθροος τε μέροψ τελέθεις, γαλιλαῖος ἀνὴρ, καὶ
σὴ ῥάνυ σὲ γλῶσση, ἀναφανδὸν ἐλέγχει ἀλήτην.
ὑστάτιον δ' ἄρα δμωὸς γεγαὼς δρηστῆρος ὁμαίμων

Latro Christũ ignotum agnouit, Petrus cognitũ negauit, timeat ergo bonus ne pereat per superbiã & malus ne desperet per multam malitiam. Aug:

τοῦ νεοπάτου, ὀξέι οὗ, πάρος ἄορι, σίμων
δεξιὸν οὖας ἔκοψε, ἐλέγξατο πέτρον ἐνίσπων
θαρσαλέως χριστοῦ, σὲ συνέμπορον εἶν ἀποείπῃς;
οὐ σ' ἐγὼ ἔνδοθι φυταλίης δράκον ἀνθεμόεσσαν,
οἱ σπόμενον. τότε ψευδάλιος τρίτον ἤρχετο σίμων
ἀφραδέι κραδίῃ, καταρᾶσθαι ἠδὲ χ' ὀμοῦσθαι.
ῥίγιστον πάντεσσι βροτοῖσι, θεῷ τέ καὶ ὅρκον.
ψευδαλίως, ἀρνησάμενός θ' ἔθεν ἥμενον ἑταῖρον
θεσκέλου ἰησοῦ. καὶ ἔπος φάθο (θαῦμα πυθέσθαι)
ναὶ μὰ δία χριστοῦ οὐκ εἰμ', οὐκ εἰμὶ μαθητὴς:

Gallus secundo canit.

οὐ δέ βροτὸν πότε οἶδα ἐκεῖνον, ὃν ὔμμες ἐρεῖται
ψευδέσιν οὐδ' ὅρκοισιν ἀλαλκέμεναι μενέαινεν.

Ecce medici cõpleta est prædictio, ægroti cõiuncta præsumptio.

αὐτὰρ ἐπεὶ δὴ ἑὸν, τρίτον ἀρνήσαιτο, λυτρωτὴν,
καὶ τελέσαι θυμοφθόρον ὅρκον, ψευδολόγος φὼς.
οὐκ ἔτι φθεγγομένοιο τὸ δεύτερον, ὄρθριον ἦσε
ἐξ εὐνῆς, κόκκυ ὄρνις, ἀνασχὼν εὔτριχα δειρὴν.

Dominus respicit Petrum oculis misericordiæ.

κοίρανος εἶθαρ ὀπίσσω, ἑὴν χαρίεσσαν ὀπωπὴν
στρέψε, καὶ ὀφθαλμοῖς οἰκτίρμοσι πέτρον ἔδαρκε,
τὸν γ' ἀλιτήμονα: ῥίμφα κατείβετο θυμὸν ἀνίαις,

ἀρτιφάτου

ὀρπφάτου γὰρ χριστοῦ ἔπαψ μεμνήσατο μύθου,
ὅν γε νεωστὶ θεὸς βαρυπενθέϊ ἀνδρὶ ἔλεξε,
ταῦτα προθεσπίζων, ἅτε νῦν τετελεσμένα ἐστὶ
ταύτῃ ἐνὶ ζοφοδέϊ νυκτὶ, πρὶν οὐρανόθεν φῶς
ἠελίου στίλψαι, καλάμψαι ἄχλον ὁμίχλην.
ἠδὲ πρὶν, ὀξὺ ὁ ὀρθροτόφωνος, ἰΰγμὸν ἀλέκτωρ
δὶς κλάγξειεν, τρὶς σοῦ ἀπαρνήσαιο λυτρώτην.

αὖτε δ' ὑψορόφοιο παλιμπετὲς, ἐκ μεγάροιο
φοῖτα, ἑαυτῷ δεινὰ συνειδὼς κ' ἀχνύμενος κῆρ
ἵστατο νόσφι θυρῶν, πολλῇ στοναχῇ τε, γόῳ τε, — *Petri salutaris*
τῆς χάριν ἀμπλακίης ἐθρήνεε. κὰδ δὲ παρειῶν — *pœnitentia.*
πικρῶς, θερμὰ χύδην, καὶ δάκρυα λεῖβε χάμαζε,

λαὸς ἰουδαίων καὶ ὑπερφίαλοι φαρισαῖοι,
ἀρχιερῆες τ' ἀρχέκακοι, κακοήτορες ἄνδρες,
ἡγεμόνες θεοεχθέες, ἠδὲ συνέδριον οὖλον.
ὀτραλέως πάντες, δίζηντο ἀπεχθέϊ θυμῷ — *Quærũtur fal-*
ψευδέσι μαρτύροισιν ἀμύμονα χριστὸν ἐλέγχειν, — *si testes aduer-*
ὄφρα τάχιστα μιν, αἰχίσῳ καὶ ἀνηλέϊ πότμῳ, — *sus Christum.*
ὠμηστῇ θανατῶσιν πολλοὶ πάντοτε ἦξαν
κομπαστῆες, ἀτάσθαλα λαιμῷ δεινὰ χάνοντες.
κὰν δ' ἄρα πάμπολλοι ἐκεῖ, ἀθροίσαντο σορηδὸν
ψευδέες ἀβλητῆρες, ψευδέα πολλὰ φλύοντες.
κ' αὐτῶν μαρτυρέοι, ψεύδοιτ' ἐπίορκοι ἕκαστος,
χείλεσι λυσσοπόνοισι, κατὰ χριστοῖο ἰησοῦ.
οὐκ ἂν, ἀμεμφέα ἦα θεοῖο, δυνάιντο ἐλέγχειν.
ὅττι ἀνάρμοστα ψευδῆ, οὐ πίστιν ἔχοντα,
ἠπεροπῆες ἔφαν. καὶ ἄλλοτε ἄλλος ἔλεξεν
ὑστάτιον δ', δύω ὀλοόφρονες ἄνδρες ὁμαρτῇ. — *Duo falsi te-*
ἐρχόμενοι, φλυαροῦν, λωβήτορες δεινὰ λάρυγξι, — *stes insimulãt*
μαρτυρέειν πάνυ ψευδῆ ἔφαν, καὶ ὕβριν ἔρευγον. — *filium Dei bla*
αἰδέσιμοι ἱερῆες, εὔφρονες ἠδὲ μέδοντες — *sphemiæ.*

Cyrill: in Io: Domus et templum Domini est sanctißimũ Christi corpus in quo propter nos habitare voluit, & August. lib. 18. de ciuitate Dei cap. 35. in explicatione Psal. 75.

πολλάκις ἡμετέροις ἠκούσαμεν οὔασι, σίφλον
μυθητῆρος ἐκείνου, δυστραπέλως ἄρα βάσκε·
ἱρὸν ἐγὼ, δύναμαι καὶ βούλομαι ἔστι μέλαθρον
εὐεργὲς καὶ εὐκτιμένον ἐπρόχοοι κόσμῳ
τὸ πρὶν ἐδωμήσαντο γονεῖς δαπάνησιν ἀπείροις,
τλησιπόνων τεκτήνατο πολλὴν, εὐτεχνίᾳ φώτων.
περθέμεναι πέδοθεν, κ' ἐξαῦτις μήδομαι αὐτὸς,
ἤμασιν ἐν τρισσοῖσι, νεήλατον ἄλλο ἐγείρειν,
νόσφιν ἄτερ καμάτου, τῶν χειρῶν. οὐδέ καὶ οὕτως
μαρτυρίῃσιν ἐφάρμοζον, ψευδήγοροι ἄνδρες.
χριστὸν ὁμοφρονέοντες ἀμύμονα, πότμῳ ὀλέσσαι.

Καρπαλίμως καὶ ἀμήχανος ἀρχιερεὺς, ἐνὶ μέσσῳ
κύκλῳ ἀνίστατο, μαινόμενος, φθονεροῖσιν ἔπεσσιν
ἰησοῦν ἐρέεινε. τί νῶϊ ποτὶ τοῦτο σιωπᾷς
τίπτε σφίσιν μὴ ἀντερέεις; τίνος εἵνεκεν οὗτοι,
ἄμμιγ' ἀγρόμενοι, σ' ἀβολήτορες ἀντιδικοῦσι.

Filius Dei bene tacet quia defensione nõ indiget, ambigant defendi qui timent vinci Ambro: Esa. 53. Io. 18.

Ἀλλ' ἄρα δ' ἰησοῦς, ἐὰ θέσκελα χείλεα ἴλλων,
δυσσεβέσιν μὴ ἀμειβαίην. πόρε ἀνδράσι φωνήν.
ἄψ ἐπιδεύτερον, ἀρχιερεὺς ἀθέμιστος ἰωὴ
ἐξερέεινε μιν, ἤδ' ἐπονειδίστως ἀγόρευε.
δεῦρ' ἄγε μοὶ τόδ' ἔνισπε ἐτήτυμον ὄφρ' εὖ εἰδῶ
εἰ σὺ ἀειζώοιο θεοῦ κεχαρισμένος υἱὸς,
ἠδὲ ὁ χριστὸς ἔφυς; σὲ θεοῦ κατὰ παμβασιλῆος
ἐξορκίζω, ἀμφαδίην ἐμοὶ ἔννεπε μύθῳ,
εἰ σὺ πέλεις χριστὸς, τέκος ὑψιμέδοντος ἄνακτος.

Pontifex secundò interrogat Christũ. Christus respondet Pontifici.

Τὸν αὖθις μύθοισιν ἀμείβετο, δῖος ἰησοῦς.
ναὶ σὺ εἶπας: ἐγ' υἱὸς ἔφυν, θεοῦ οὐρανίοιο,
ἤδ' ἔτι πολλὴν, νημερτὲς ἀπειθέσιν ὔμμι φατίσω.
καιρὸς ἀπαρτὶ ἔσεται, ἡνίκα πάντες ἀνοικτεί,
γνήσιον ἀνθρώπου, ὅσσοισι βλέψετε υἱὸν,
εἰς χέρα δεξιτέρην, τοῦ κοιράνου ὀβριμοεργοῦ

ἑζόμενον

ἐζόμενον, νεφέλην καὶ ἐπὶ ἀστερόεντος ὀλύμπου
οὐρανίων γε μόλοντα, σὺν ἀγλαΐα στρατιάων.
ὣς φάτο: εἰς χόλον ἀρχιερεὺς, ὀλοφώϊος ἀνὴρ,
οἰστρηθεὶς, ἤλυξε κατὰ φρένα, καὶ κατὰ θυμὸν,
καὶ αἰνὰ νόον βαρυμήνιν ἀέξατο. πᾶν γὰρ οἱ αὐχὴν
θυμοῦ ἐνεπλήσθη, καὶ ὀρίνθη νῦν πλέον ἢ πρὶν
σμερδνὸν δ᾽ ὄμματα οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ
ὡς ἔα καὶ φοράδην, ἐρρήξατο εἵματα χερσὶν,
ἐμπιμελῶ ἃ ἕεστο περὶ χροῒ, ταρβαλέως καὶ
χείλεσι γῆρυν ἐρεύγετο. τὸν θεὸν εὐρυμέδοντα
βλασφήμησε, τί χρὴ ἔτι μᾶλλον ἀβλήτορες ἀκρῶς
μαστεύειν, ἢ μὴν κατελέγχειν μαρτυρίῃσι.
μυσίπολοι μεγαλοπρεπέες, νῦν οὔασι πάντες
ἐκλύετ᾽ ἀμφαδίην, λεσχηνίαν ἀνδρὸς ἀσώτου,
ἢ ῥά ν᾽ ἐπεὶ γνωρίζετε πταῖσμ᾽, ἀποφαίνετε γνώμην.

Pontifex furore percitus vestimenta sua discindit.

Ἄφρονες ἄνδρες ἄφαρ καὶ ὅλος χόρος ἀβραμιδάων
αἶψα καταψηφιζόμενοι, χριστῷ ὄλεθρον
λαίμῳ ὁμοφθόγγῳ βρυχῶντο, θεημάχον ἦχον.
* οὗτος ἀνὴρ, ὀλοωτάτῳ οἴτῳ ὑπεύθυνός ἐστι.
τὴν δ᾽ δρηστῆρες φιλοκέρτομοι, ἄχρειοι ἄνδρες,
οἵτε κρατοῦντο θεὸν, πεπεδημένον ἄρκεσι δεινῶς
† ἐντρυφάοντες ὀνείδισαν οἱ, καὶ ὕβριν ἔχοντες,
ἰοβόλοις στομάτεσσιν ἐνέπτυσαν, εἰς οὗ ὀπωπὴν
πτύσματα φαρμακόεντα βάλον. μολύνοντο παρειαί.
ἠδὲ τίνες, παλάμῃσι πάταξαν θέσπιδα κόῤῥην,
καὶ κολαφιζόμενοι, ῥαπίσματα χερσὶν ἔδωκαν.
δμώων ἄλλοι ἔπειτα, ῥακώματι κύκλον ὀπώπης,
ἐξ ὠτὸς τετανῷ ποτὶ θώτερον, ἀμφικάλυψαν.
τοὺς κροτάφους καὶ κρᾶτα, παρειὰς, ἀήκεσι πλήγαις
δερμὺ ῥάπισσον, ἀμειλιχίην ἀσκοῦν παντοίην.
τοῦτο μάλιστα ἄνυκτον ἀπάσθαλοι ἀσπιδιῶται

* Innocens Dei filius vnanimi consensu & clamore morti adiudicatur.

† Christus per totam noctem in atrio Pontificis illuditur, conuicijs proscinditur, fustibus tunditur, conspuitur & truculentissimè tractatur.

καὶ ἱρῶν οὐτιδανοὶ θέραπες ὀλοώτατοι ὕβριν.
μυθήσαντες ἀνάιδην. νῦν θεμίστευε ὦ ἄναξ,
τίς γ᾽ ἄρα ἔπλετο φὼς, ὃς ἐθείνετο σεῖο παρειάς;
ἀλλὰ καὶ αἰκικὰ πολλὰ μιάστορες, ὑβρίζοντες
ὠμηστῇ ἀνύοντο, βροτοῖς μέγα θαῦμα πυθέσθαι
οὐδ᾽ εἷς ἂν πότε ταῦτα λέγων ἀνύσειεν ἕκαστα
ὅσσα λυτρώσιος ἡμετέρης χάριν αἰνὰ πέπονθε.

TERTIA PARS.

Die illucescente in vnum cõfluunt Pontifices et seniores, vt morti eum tradant.



Ἦμος ἀμαυροτάτης νυκτὸς, ζοφοειδέα ὄρφνην,
ἀκροφανοῦς, ἀμάρυγμα διέσπασεν, ἠριγενείας
τῆμος ὑπερφίαλοι νὺ φιλάμμονες ἀρχιερῆες,
μυσίπολοι μιαροὶ, θεοεχθέες ἡγεμονῆες,
δημογέροντες ὀλώιοι, ἠδὲ συνέδριον οὖλον.
πάντες ὁμαρτῇ ἀολλέες ἤλυθον, εἰς ἕνα χῶρον,
ῥαψάμενοι κακὰ φρεσὶ διαμπερὲς, ἠθύνοντο
μῆτιν, ἐπίκλοπον, ἤθελον ὃν τρόπον ἐξεναρίζειν
ἠπορέπῃ δόλῳ, ἀνυπεύθυνον υἷα θεοῖο
ἄψ καὶ ὀλέσσαι ἐλεγχίστῳ καὶ ἀπηνέϊ πότμῳ.

Ad concilium seu synedrion seniorum abducitur Christus.

τὸν οἱ ὀιζυροὶ γ᾽ ὑπηρέται ἶφι, βίηφι,
ἔνδοθεν αὐλαίης, μὶν ἀπήγαγον: ἧχι μεδόντων
πρεσβυτέρων καὶ ὀλόων, πρωτόθρονος ἕζετο βουλή.
ἐξαπίνης πάντες, ζηλήμονι χριστὸν ἰωῇ
ἐξερέεινον, χείλεσι τοῖον ἀνήρυγον ἰυγμόν.

Totum concilium interrogat Christum.

νῦν ἄγε, ἄμμι ἀγερθομένοις, νημερτὲς ἔνισπε:
εἰ σὺ ὁ χριστὸς ἔφυς, τέκος ὑψίστοιο θεοῖο;

Responsio Christi.

φωσὶ θεοστυγέεσσιν ἔφη θεὸς ἤπιος αὐδῇ.
αἴκεν ἀπειθέσιν ὔμμι, ἀληθέα μῦθον ὑδήσω,
μὴ μὲν τοὶ κραδίῃ πιστεύσητ᾽ ἀτρεκεῖ ὀμφῇ:
αἴκα πάλιν δ᾽ ἐρεείνω ἔπος ὑπερμώορας ἄμμε:

οὐκ ἐμοὶ

οὐκ ἐμοὶ εἰρομένῳ μαιμάσετε δοῦναι ἀμοιβὴν,
μηδὲ ὀλέθρου ἀπαλλάξητέ με, αὐτὰρ ὀπίσσω
ἔσται δὴ τοῦτ᾽ ἦμαρ ὁπηνίκα, ὀφθαλμοῖσιν
βλέψετε, ἀνθρώπου ἐς δεξιὰ υἱὸν ἄνακτος
οὐρανίοιο καθήμενον, ἀγλαΐηφι σὺν ἶφι.

Δήϊος ἑβραίων ἀπαμείβετο λαὸς ἰαγχῶν.
ἦ ῥά νυ τέκνον ἀειζώοιο σὺ ἔμμεναι εὔχῃ;
τοὺς δ᾽ αὖτε προσέειπεν ἰησοῦς. ὔμμες ἐρεῖτε.
γνήσιος υἱός ἐγὼ πέλομαι, θεοῦ ὑψιμέδοντος.
αὐτίκα βρυχῶντο κακοήτορες, ἄφρονι μύθῳ.
τὶ χρεῖαν ἐχόμεσθα ἔτι πλέον ἵστορας, ἢ ἢ
μαρτυρίησιν ἐλεγχέμεναι σφ᾽, ὅτι ἀμφαδίην νῦν,
νωιτέροις ἠκούσαμεν οὔασι, σῖφλον ἀσελγῆ,
δυσσεβῆ ἠδὲ θεοῖο κατὰ βλασφημίαν αὐτοῦ.
νῦν σάφα ἔγνωμεν, νῦν τοῦτ᾽ ἐδάημεν ἀνοικτεί.

καρπαλίμως δ᾽ ἐπιχαιρέφονος καὶ μάργος ὅμιλος,
οὐλοῦ εὐκτίμενον τέγος ἀρχιερῆος ἐάσας,
ἐξωρμήσατο: ἰλλόμενον καὶ νηλέσι δεσμοῖς
*Πρόφρονα ἰησοῦν ἐβίβησεν, ἀγλωοείδαο
οἴκαδε ἡγεμόνος, ἕ καὶ ἐγγυάλιξε πιλάτῳ
πρώϊον ἔνθα σέλας, διέχευεν ἑωσφόρος ἀστὴρ,
οὐρανόθεν χαροπὴ καλὸν διέφαινε πρόσωπον
ἠὼς ἀντέλλουσα νέον: λάμποντο δ᾽ ἀταρποί.

ΑΥτὰρ ἐπεὶ πανόλεθρος φῶς ξυνέηκεν ἰούδας
ὃς, χάριν, οὐτιδανωτάτου ἤδεος, υἷα θεοῖο
δυσσεβέσιν παρέδω, τὸν ἀπεψηφισμένον εἶναι.
ἠδὲ δίκῃ ἀδίκως ὠφληκότα, ἀργυροτρώκτης
αὐτίκ᾽ ἐπεσσύμενος, πανάλαστος ὀξεῖ κέντρῳ
ἐς χορὸν ἀρχιερῶν καὶ ἀσέπτων, χάζετο βουλὼ
ὦνον ὀλέθρου χερσὶ φέρων, κεκαφηότι θυμῷ
ὀχθήσας, ῥοιζηδὸν ἀπορρήπλησε χάμαζε,

* *Morti iam adiudicatus filius Dei in palatio Caiaphæ & synedrio Pilato tanquã executori sententiæ trucidandus adducitur. Hũc enim morem habebant, vt quem morte dignum iudicassent ligatum iudici tanquam politico magistratui traderent, teste Hieronymo.*

Iudas desperat et sibi ipsi mortem consciscit.

Φωσὶ λυπρῶς κ' ἀντιαχήσατο, ἐξολολύξας.
Ὤ μοι ἐγὼ, τί πάθω, τί νυ μοὶ μήκιστα γένηται,
ἰὴ, εἰς ἀΐδην ὑπ' ἀλάστορος ἕλκομαι ἤδη.
δεινὰ γὰρ ἔνδοθεν στέρνων, ἐμὸν ἦτορ ἐνοχλεῖ,
φεῦ βαρυποτμοτάτου, φεῦ, σχέτλιον ἔργον ἔοργα
αἷμ' ἀνυπεύθυνον, ὕμμιν ἀγαζήλοις προδεδωκὼς,
Τὸν δ' ἀπαμειβόμενοι Φιλάμονες ἔννεπον ἄνδρες
τίπτε σὺ ἡμῖν τοῦτο πιφαύσκεις, τί πρὸς ἡμᾶς;
εἰ σὺ φυτεύσας ἄγος; τύνη ὄψει; ἄμμες ἄμωμοι.
καὶ καθαροὶ κακότητος, ἄφαρ τοίνυν ἔνθεν ἀπέρρε.
Ἀργυροδέκτης οὗτος, ἑαυτῷ δεινὰ συνειδὼς,
ἐξέχεε χθονὶ κέρδος ὀλώϊον, εἶθαρ ὀρούων,
ἐκ μεγάροιο θυέσσυτο, ἄργυρα αὐτόθι λείψας.
κραιπνὰ πόδεσσιν ἀποθρώξασκεν, δαιμονίοιο.
καὶ παναλάστορος οὐλομένου, ὑπὸ πληγῇσι διωχθείς.
δεινὰ ἀνελπίζων, ᾗ μὶν πόδες ἦγον, ἐχώρει.
μαινόμενος, χαλεπὸν γὰρ ἔσω βέλος, ἦτορ ἄμυσσεν.
ἀρτήσας σχοινίδα, βρόχον τ' ἔμβαλλε τραχήλῳ,
αὐχένα σφιγξάμενος τάχ' ἀπήγξατο, αὐτοφόνος δὴ
δριμὺ μεταλλάξας βίον, ἐς κρυόεντα βέβηκε
τάρταρον: ἠδ' ἄϊδι δεινῶς βαρυδαίμονα ψυχὴν
ἄψ προΐαψε, δίκη μεμελημένον, ἔμμορε μισθὸν
οὐλομένων καὶ δέκτο πόνων, ἀντάξιον ἄτην.
ἐξαπίνης πρησθεὶς γεγαὼς, ἀνὰ γαστέρα μέσσην
ῥήγνυτο, καὶ κοράκεσσιν φοινήεντα, χάμαζε
ἔγκατα ἐξεχύθη, ἐπαλάσσετο αἵματι βῶλος.
μυστίπολοι δὲ μιάστορες, ἠδὲ γέροντες ἄσεπτοι,
κέρμα λαβόντες ὀλέθρου, ἀμοιβαδὸν ἀλλήλοισιν
φάν. τί ἀνύσσομεν; οὐ θέμις ἐστί, χρήματα ταῦτα,
ἱέναι εἰς κίστην, ἐπεὶ αἵματος ἔπλετο τιμή.
εἶτα Φιλάμονες εἰς ἀγορὴν ἀγέροντο γέροντες,

Abiectis in templo argenteis solus secedit vitamq; laqueo finit.

Acto. 1. Matth. 27.

† *Sacerdotes pecunijs Iudæ cruentis disiectis iterũ colligunt, & in quem vsum collocent deliberant.*

φραζόμενοι

φραζόμενοι ἐπιτηδὲς, ὅπως ἀναλῶσαι ὀλέθρου
κέρμα δυνάιντο: μετ' ἀλλήλων τότ' ἐνήεα μῆτιν
τικταίνοντο: ἐπεὶ τ' αἰώνιον, ἠδ' ἐπίδηλον
μνῆμα θεοβλαβίης θέμενοι: κεραμῆος, ἀγρεῖον
ἀγρὸν ἐωνοῦντ', ᾧ ἐνὶ ἄπνοα πτώματα, ξείνων
πλαγχθέντων ἐνθάψετ' ἀμοιβαδὶς. βροτοῖσιν ἅπασιν
ναιετάουσιν ἔσω ἱεροῦ πτολέθροιο σολύμων,
ἀλλοτρίοις ἄλλοις, ἅμα τοῦτ' ἀρίδηλον ἐτύχθη.
τούνεκα χῶρα σύρῳ κικλήσκεται εἰσέτι μύθῳ,
ἀγρὸς ἀκελδαμὰ: οἷά τε χωρίον αἵματος ὤνου
ἐξαγορασθέν. Νὴ Δία ἀμφαδὸν ἔνθ' ἔτι, νῦν περ
ἐγκέχυται τόδε μνῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
τῇ δέ κ' ἀσυφέλικτον ἔπος τετελεσμένον ἐστὶ
τοῦτο θεμίστοντος πρόπαρ ἠγαθέοιο προφήτου
τρεῖς λάβε δηναρίων δεκάδας, πόκα λαὸς ἐμοῖο,
τὴν τιμὴν τιμημένου, ὅν γ' ἀπὸ ἰσραήλου
τέκνων, αἰτωνούμενος ἠγόρασεν, καὶ ἔπειτα
κέρμα θεοβλαβίης, κεραμῆος ἐς ἀγρὸν ἔδωκεν.
ὥσπερ ὁ κοίρανος ὑψιμέδων συνέταξε γενέσθαι.

Δήιος ἑβραίων γὰρ χόρος, κακοήτορες ἄνδρες,
οἱ ποτὶ, χριστὸν ἀμεμφῆ, ἐκώμασαν ἡγεμόνος δῶ:
πάντες ἀολλέες ἠυλίζοντ', ἔκτοσθε θυράων
αὐλῆς, ἀχρανέες γεγαῶτες, δῦναι ὑπάρχου,
οὐχὶ μέλαθρα θέλοντ': ἵνα μὴ ἔμπυσαι γῆα μολύνῃ,
πασχ' ὅσιον λελιημένοι ἔδμεναι, ἁγνεσ' ὀδοῦσι.
τούνεκα ἡγεμονεὺς πιλᾶτος, ἔστιχε θύραζε,
μάρτυρες ἐξαίτων, εἰσηγγελίης ἀδίκοιο.
τοῖον ἔπος κ' ἐφθέγξατο, πάντι κατηγόρῳ ἐσμῷ.
τιπτέ κατηγρύσατ', αὐτός σε τοῦτον φῶτα, τί ῥέξε;
τίς πρόφασις πότμοιο, τί φῶς πεφναῖον ἔτευξε
αἶψα θεοστυγέες χείλεσσι νυ λυσσοπόνοισι,

κραξά-

Hiero: de lot. Hebraici.

Acheldama ager sanguinis, qui hodie quoq; demonstratur in vrbe Ælia ad australem partẽ mõtis Sion.

Iudæi comparantes figuli agrum æternum suæ impietatis reliquerunt monumentum.

Iudæi Pascha sumpturi in prætorium nolunt introire Pilati attactu se contaminari credentes innocenti vero sanguine se pollui nihil currantes. Cyrillus.

κρᾳξάμενοι φλυαροῦντο, σὺ ἄμμες ἀμεμφῆ οἴεις,
μεμφιβολεῖν νῶϊ, εἰ μὴ ἀνὴρ εἴη ἀπόβωμος,
ἢ ἢ δύσφατιν οὗτος ἄγος τελέσσεν ἀναιδῆ:
οὔποτε κεῖνον ἐφειλκόμεθα αὐτίσε, χερσὶ βιαίοις.
ἐξαυτῆς μύθοισιν ἀμείψατο, ὄρχαμος ἀνήρ.
μάρψατε θυμὸς ἔπ' ὔμμι, σφὲ πρηνίζεσθαι ὀλέθρῳ,
καί μιν ὅπως ἱμείρετε, πατρῴοισι νόμοισι
κρίνατε: οὐδὲν ἐμοὶ καὶ ἀνδρὶ, οὐ μάρτυρι φωνῇ
νικηθέντι. χόρος θεοεχθέων ἀρχιερήων,
αὖθις ἔφη πιλάτῳ, κατακτείνειν σὲ ἐθέλοντι.
οὐ θέμις ἐσθ' ἡμῖν θρήσκοισι καὶ εὐαγέεσσι,
ἐξεναρίζειν δεῖνα βροτὸν ποινήτορι χαλκῷ
ὅφρα κεν ἀσεμφὲς τύπος τετελεσμένον εἴη.
ΙΗΣΟΥ͂Σ τόπερ ἄρτι φράδεν μύστῃσι, θεμίστων
πότμῳ ὁποίῳ μέλλε θανεῖν, καὶ ὠμηστῇ ὀλέσσαι.
οἱ δ' ἄρα ἀρχιερεῖς καὶ σχέτλιοι ἄνδρες ὁμοῦ τι
νηίπολοι κακομήχανοι ἠδὲ γραφῆες ὄλειοι,
φρεσσὶ χόλον καὶ κρύβδα φθόνον, χριστοῖο ἔχοντες
θυμῷ ἀπεχθέϊ, σφόδρ' ἤρξαντο μὶν αἰτιάασθαι;
παντοίης κακίης γε διχοστεπίης τε στροφῆς τε
μεμφωλὴν λαίμῳ λωβήτορι, δεινὰ φλύοντες.
οὗτος ἀβῆς ἀπαίσιος ἔγεντο, σεβάσμιον ἔθνος
λυμαίνεσθαι, ἔπῃσι γοητείῃσι: καὶ εἴλλειν
δυσραπέλως δόμεναι, διασημοτάτῳ ἐπὶ δασμὸν
καίσαρι: ταῦτ' ἄρα εὐσταθέως θεοῦ εὔχεται εἶναι
υἱὸς καὶ χριστὸς στεφανηφόρος. αὖθις ὕπαρχος,
λαὸν ἀμείλιχον ἐγκαταλείψας, ἔνδοθεν αὐλῆς,
ποσσὶν ἐπένθορε: καὶ θεὸν εἴρετο μύθῳ, ἐνίσσων.
δεῦρ' ἐχεδὴ παρ' ἐμ' ἵσταθι, μοὶ καὶ ἐτήμως ἀγόρευε.
κοίρανος εἰ σὺ πέλεις, στεφανηφόρος ἀβραμιδάων.
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἰδῶ ἀληθές.

Iudæi Christũ non interfecerũt, quia ipsis legibus Romanis subiacentibus de illorum potestate multum abscißum erat, teste Chrysost.

Christus insimulatus falsæ doctrinæ & seditionis.

Pilati cum Christo colloquium.

ἀνέρι

ἀνέρι πευθομένῳ μυθήσατο Δῖος Ἰησοῦς,
ἱστάμενος πρόσθ' αὐτοῦ ἔρεινε μὶν εὖ μάλα εἰδώς.
αὐτοδίδακτος τοῦτο ἐρεῖς, μὲ ἄνακτα κικλήσκων;
εἰ περὶ μοῦ, τεΐν ἄλλοι ἔφησαν. ὁ ὄρχαμος, εἶθαρ
χριστὸν ἀμείβετο. μήτι ἐγὼν ἑβραῖος ὑπάρχω;
σφωΐτερον δ' ἔθνος τε χολωδέες ἀρχιερῆες
χερσὶ ἐμῇ παρέδοντό σ' ὅπως τιμήσω ὀλέθρου.
ἦ ῥά· νυ αὐτὸς ἐμοὶ φάθι νητρεκὲς, ἔργον ὁποῖον
ἐκτολύπευσας. ἀνίαχεν ἠπιόθυμος Ἰησοῦς.

Respondet Christus.

Γηΐνη οὐ τελέθει βασιλεία μου, ἀγλαΐη καὶ
οὐδαμοῦ οὐδαίη, οὐδεὶς βασιλήϊος οἶκος.
εἰ γὰρ ἐπιχθόνιον, πρωτεῖον ἐμεῖο ἐτύχθη,
εἰ γενόμην κόσμοιο μέδων, πολύαθλοι ὀπηδοὶ
ἡμέτεροι προτεταγμένοι, ἠδὲ καὶ ἀσπιδιῶται.
πρόφρονες ἀλκίεντι νόῳ, καὶ ἀθαμβέϊ θυμῷ,
ἀμφὶ ἐμοὶ, δριμεῖαν ἔγειρον ἀρηῒ μάχην, καὶ
μίξαντες δαΐ χεῖρας ἄμυνον μ': ὄφρα μὴ οὔλοις
ἑβραίοις παραδῶμαι, ἐμ' ἐμμαῶσιν ὀλέσσαι.
ἀλλὰ δέ κοιρανίη μεῦ, οὐκ ἐπίγειος ἐτύχθη,
οὐδὲ χθονοστιβές ἤνιον, οὐ πλάκα δούρασι γαίης
εὐθυνόω. τὸν ἀμειβόμενος φῆ ἔξοχος ἀνδρῶν
οὐκοῦν τύνη ἄναξ τελέθεις; ἐφθέγξατο χριστὸς
νωὶ σὺ εἶπας, ἄναξ γενόμην ἐγὼ ὀβριμόεργος,
εἰς τοῦτο χθόνα δῦσα, γεγὼς ἐς τοῦτο ἔγωγε:
ὄφρα κ' ἀληθείην ἀτίνακτον, ἐγ' ἀμφαδὸν αἰὲν
πᾶσιν ἀλιτροῖσιν κηρύξω, μάρτυρι φωνῇ
πᾶς καὶ ἀλήθινος, ὃς κραδίη ἐπεώνιον ἄζει,
πεύθεται ὀτραλέως, τὰ ἐμοῖο ἀληθέος ὀμφῆς.
ὄρχαμος ἄψορρον ὑπέροπτα χριστὸν ἔρεινε.
ἀλλ' ἄγε δὴ, σύ μοι εἰπέ, ἀληθείη τί πέλεσκε;
Ὣς φάμενος: πρόκα ποσσὶν ἀπῴχετο δώματος ἔξω

Christi regnũ non est ex hoc mundo, nõ arripit mortalia, qui regna dat cœlestia.

Præses Christum excusat.

νόσφι θυρῶν καὶ αὐλιζομένῳ, φῆ, ἐσμῷ ἀθέσμῳ
νὴ δία, πλημμελέεσθε, ἀμύμονα βασκαίνοντες,
αἰτίαν οὐδεμίαν θανατηφόρον, οἶδα κιχεῖν.
οὔ τινα πότμοιο πρόφασιν διάδηκον ὀπεύω
ἀνδρ' ἐνὶ: ὕμμι φέρειν ἐστὶν, ἀναίτιον αἰτιάασθαι.

Οἵδε περιπλέες ἔχθεσι καὶ ὀλοώτατοι ὕβριν
λαβροβάροις στομάτεσσιν ὑποκρίνοντες, ἐκεῖνον
παμπληθεῖς νῦ κατηγόρεον κακότητος, ἄγους τε
καὶ εἰ αἰνὰ κατήγοροι ἀρχιερῆες, ἀσελγεῖς
πρεσβύτεροι μανιώδεες, ἠδ' ὅλος ἐσμὸς ὀλειὸς,
δυσνοϊκῶς, τῷ χριστῷ ἀνεγκλήτῳ, ἀδίκοντι
μέμψιν ἐμεμφθήσαν: μὴ μὲν τοι χείλεα λύσας,
δυσσεβέσιν πόρε φωσὶν ἀμοιβὴν, ψευδῆ ἐλέγχων.
τοὔμπαλιν ἰησοῦν, ὑπερήφανος εἴρετο ἀρχός.
τίπτε τιώη γλωσσοκρατέεις; μὴ μύθῳ ἀμοιβὴν,
αἰτίαν ἀνδράσι τὴν ἐπενεγκόντεσσι, δίδως νῦν.
οὐ σὺ γὰρ οὔασι σοῖς ἀΐεις νῦν ὅππη, ἅπαντες
σοὶ μέμψιν μέμφονται, ἀτασθαλίην παντοίην
καὶ αἰνὰ μίασμα, συνάγδην σεῦ καταμαρτυρέουσιν.

Taciturnitas Christi apologiam Adæ absoluit, inquit Hieronym.

αὐτὰρ ἀκήνιος ἔστηκεν, εἰς ἔραν ὄμματα πήξας,
οὐδεμίαν λαλαγὴν, ἀντίαχε πρᾳῢς ἰησοῦς.
οὗ χάριν οἷς πραπίδεσσιν ἐθαύμασεν ἔξοχος ἀνὴρ
οἱ δ' ἄρα αἰεὶ μᾶλλον, ἀμείλιχοι ἀρχιερῆες,
κραυγῇ ἐπέχυον, ἀντιδικοῦντες καὶ φλυαροῦντες.

Iudæi vehementius accusant.

Οὗτος ἀθῆς σφετέρῃ διδαχῇ, ὅλον εὐλαβὲς ἔθνος
κυρκινάει, μαθέων στροφάδην, ἀνὰ πείρατα οὔλης
γαίης ἰουδαικῆς, ταινιάων πλησιοχώρων.
ἀρξάμενος πρώϊζα ἀπ' ἀγχιάλου γαλιλαίης
μέχρις ἡμετέροιο καθέρπυσεν ἄστεος, ἱροῦ,
θρυλλέει ἠχὶ χύδην, ἡμείων ἀντὶ δίδαγμα
ἐξηλλαγμένον, ἠδὲ πολύτροπα θαύματα φαίνει.

οἷσιν

οἷσιν ὅλην ταινίαν καὶ ἱερὸν ἄστυ κορύσσει,
ἡμέτερόν τε παραπλανάει, ταχυπειθέα λαόν.

Ἀλλ' ὅτε, ἡγεμονεὺς πιλάτος, ἀκούσατο μῦθον,
ὃν μιαροὶ λέξαν, περὶ τῆς γαλιλαιάδος αἴης
εἴρετο νηπιάχους ἄφαρ εἰ γαλιλαῖος ἐκεῖνος
γείνατο: ὡς δὲ καὶ ἐ γαλιλαιΐδα ἔκγονον ἔγνω,
ἤδ' ἀπ' ἐπικρατίης ἐμὲν, ἡρώδαο ἄνακτος.
αἰφνιδίως θεόπαιδα, λίνοις ὤμησῃ ἀμύδροις
ἱλλόμενον, προέηκε φέρων χάριν ἠδὲ καὶ ἀρέσκων,
ἡρώδῃ βασιλῆι, νόον βαρύμηνιν ἔχοντι.

Facta mentione Galilææ præses quærit num Christus sit Galilæus. Filius Dei pro spectaculo Herodi mittitur.

ὃς δὲ καὶ ἔνδοθι ἱεροῦ ἄστεος ἤμασι τλώοις
πανσυδίη δηθύνετο. καὶ ὅτε δήιος ἀρχὸς
ἡρώδης φαέεσσι θεὸν βαρύδεσμον ὄπωπε
ἐν φρεσὶ γήθησεν, καὶ ἀνέπλατο χάρματι θυμὸς
δηθὰ μάλ' αὐτὸν ἐέλδετο, καὶ μάστευεν ὀπεύειν.
πολλάκι γὰρ τερατώδεα, οἱ περί, πολλὰ ἄκουσε,
πάντες ἃ παντόθι φᾶν, καὶ θαῦμα θεᾶσθαι ἐώλπει.

Viso Dei filio gaudio perfunditur Rex.

Τὴν δὲ ὀφρυόεις βασιλεὺς, τωθαστικῷ ἰυγμῷ,
ἀμφὶ ἀπαίρων χειρῶν ἀπείρετο, μυκτηρίζων.
ἤπιος αὐτὰρ ἰησοῦς, θέσκελα χείλεα ἴλλων,
δυσθέῳ οὐ πόρε ἀνδρὶ, ἀμοιβάδα χεύματα γλώσσης.

Οἰστρομανὴς ἀντικρὺς ἐκεῖ χορὸς ἀρχιερήων
οὐλοφρόνων, φώτων κακοχάρτων ἠδὲ γραφήων
εἶχε ποδὸς στατὸν ἴχνος: ὁμοφθόγγῳ τινὶ λαιμῷ
σφόδρα κατηγορέων χριστοῦ, πολύφλοισβον ἔγειρε
βρυγμὸν, ἀθεσφάτου, οἶκον ἄνακτος πλήσατο μομφῆς.
εἶτα μέσων καταμειδιάων φράδεν ἡδὺ γελάσσας
ᾇ ᾇ μοίγε. φλύαξ ὁπόθεν τόδε φλαῦρον ἄθυρμα
καὶ σοβαρὸν γὰρ ἐπέμυξ' οἱ σφ' πάνυ μῶμος ἐτύχθη.
οὐτιδανοὶ θεράποντες ὁμῶς, καταχαγχάζοντες
τὸν κωμιδῇ ἐγέλασσαν, ὀνείδεσιν ἐστυφέλιξαν.

Herodes in risum solutus gratulatur sibi spectaculū.

A satellitibus illuditur & conuitijs proscinditur.

Contumelia affectus & purpura tectus præsidi remittitur.

λώπην καὶ νιφόεσσαν, ἐπ' αὐτοῦ, κάββαλον ὤμοις,
καὶ τὸ μὲν ἐξετέλεσσαν, ἐφημοσύνῃφι ἄνακτος.
εἰ γὰρ ἄναξ ἀθέμιστος ἔπεμψ, πιλάτῳ ἑῷ ἐχθρῷ,
δεινά πεπαιγμένον υἱὰ θεοῦ, ἀνέπεμψεν. ἄφαρ καὶ,
αὐτῆμαρ, σφεδανὸς μηνιθμὸς τ' ὤλετο πάμπαν,
δυσμενίην καὶ ἀπόῤῥιψαν, φιλότητα ἕλοντο.
πρόσθε γὰρ ἐχθρὰν ἔχον, ποτὶ ἀλλήλους, ὁ ὕπαρχος
δήϊος, ἐς κότον ὀφρυόεντι ἄνακτι καταστὰς,

Simultas & odium inter Herodem & Pilatum, conceptum propter lanienam & cædem in Galilæa factã, vbi sanguinem Galilæorum commiscuit cruori pecudũ, tollitur.

δριμείης ἀνδροκτονίης χάριν, ἥνπερ ἔρδε,
ὠμηστῇ τανίῃφι ἐν εὐπύργου γαλιλαίης.
οὔποτε ἀρθμησαν, δὴ ἄναξ χόλον οὐλόμενόν περ
οὐκ ἔθελε σβέσσαι: τοι ἐπεὶ θεοῦ υἱὸν ἀμεμφῆ
ἀλλήλοις συνεφωνήσαντο ὑφωμαδὸν ἄμφω
ἀρθμὸν ὁμοφροσύνης ἀλύτῳ ταχ' ἔδησαν ὀχῆι.
Αὐτὰρ ἐπεὶ, θεοπαῖδα παλίντροποι ἀσπιδιῶται
ἐς πραιτώριον αὖθις ἐκώμασαν, ἔρχαμος ἄφνω
συγκαλέσας βουλὴν, ξὺν ὀλόφροσιν ἀρχιερεῦσι,
πρεσβυτέροισιν ὀλωΐοις ἠδὲ κατηγόρῳ ἐσμῷ,
οἵ τε μάλιστα ἐβάσκαινον, τεκταίνετο μῆτιν.
πᾶσι συναγρομένοισι καὶ ηὔδαε, μῦθον ἐνίσπων.
Τοῦτον ἐμοί νυ ἀνέγκλητον, παρεδώκατε φῶτα.
οἷά τε σφωΐτερον σφάλλοντα σεβάσμιον ἔθνος,
ἱερὸν ἠδὲ καὶ ἑῇ διδαχῇ θορυβοῦντα πόλεθρον.
ἀλλὰ δὴ αὐτὸς ἐπιστροφάδην, ὑμῶν παρεόντων,
πρῶτα προσηνέσιν, εἶτα δι' ἀπειλέσι τοῖον ἔπεσσι
ἐξερέεινον, καὶ βασανίζων πάντα διάμπαξ.

Innocens Dei filius iterum à Pilato excusatur.

οὐ μὲν αἰτίαν εὗρον ἐν ἀνδρὶ ἀναιτίῳ, οὐδὲ
ἀμπλακίην μίαν, οὐδ' ἄγος, ὧν κατὰ πάντες ἐκείνου
ἄρτι κατηγορέεσθε: ἀρ' οὐδὲ καὶ ἔξοχος ἄλλων
ἡρώδης βασιλεὺς, ποτὶ ὃν γ' ἐπεπόμφεα ἄμμε:
ἄξιον οὐδὲν ὀλέθρου, ἐν ἀνέρι οἶδε δοκεύειν

οὐ χάριν.

οὐ χάριν, οἷά τ' ἀμεμφῆ, ἐμοί μιν ὀπίσσω ἴαλλεν.
δῆτα νὺ σμερδαλέης πληγῆσι, σφὲ ὦκα δαμάσσω,
καὶ μετέπειτ' ἀδίκαστιν, ἀπαλλάξω μὶν ὀλέθρου.

Ἀρχαϊκόνδε ἰουδαίοις ἐνιαύσιον, ἔσκε
ἦθος, ἀειμνήστου κατὰ πάσχατος ἦμαρ ἑορτῆς,
ὄφρα κεν ἡγεμονεὺς, λαῷ λιπαροῦντι, ἀπ' εἰργμῶν
δεσμώτην λύσειεν ἕνα βροτὸν, ὅνπερ ἔλοιτο.
τῆμος δὲ, ἅμμασι σφιγξάμενον τινὰ, δύσμορον ἄνδρα
εἶχεν, ἐν ἠεροειδέι εἱρκτῇ, τῷδε βαραββᾶν
οὔνομα ἦν, ληστὴς μιαρὸς καὶ ἀνδροφόνος φώς.
ὃς μετὰ κοινωνῶν ἑαλωκὼς ἡμεροκοίτων,
οἵτε διχοστασίην θορυβώδη, ἐν ἄστει ἔγειρον,
οἰκτίστην τε μιαιφονίην νύχα δριμὺ φύτευσαν:
τοὔνεκεν ὦφλον, σμερδνὰ δίκην θανάτοιο, δικαίως.

Ἤρχετο ἐξαπίνης, φθέγγεσθαι ἄθικτος ὅμιλος,
αἰτήσας, ἵνα ὄρχαμος, ὥσπερ ὁ θεσμὸς ἀνώγει
ποιήσῃ; καὶ ἕνα σφίσι δέσμιον ἐκ τοῦ ὀλέθρου
λύσῃ: ἄφαρ συναγειρομένους προσέειπεν ὕπαρχος
ὔμμι ἐτήσιόν ἐστιν ἔθος, κατὰ πάσχατος ὁρτὴν,
ὄφρα κατηφόνα, ὔμμι ἕνα βροτὸν ἄνδρ' ἀπολύσω.
ἠνίδε νῦν δύω ἵστατον, οἷν ἔχετε φθόνον ὥστε
φρεσὶ συγεῖτε λίην, βεβαρημένω ἄρκεσιν ἄμφω.
εἴπατε μοὶ τίνα ἱμείρεσθε πολύλλυτον ὑμῖν
ἐγγυαλίξω; ἀλάστορα μῶν βούλεσθε βαραββᾶν;
ἢ μᾶλλον κρατεροῖς, πεπεδημένον ἅμμασ', ἀμεμφῆ
χριστὸν, ἰουδαίων ὃν ἐπικλείουσιν ἄνακτα;
εἴρετο οἰστρομανεῖς φῶς, εὖ μάλα φρεσὶ νοήσας:
ὅττι κε τὴν διὰ βασκανίην ὀλοφώιοι ἱρεῖς
κρύβδα φθόνον καὶ δεινὰ χόλον, χριστῷ ἔχοντες.
χθεὶ ἐπῆ μὶν ὄπασσαν, ὅπως τμήσῃ ὀλέθρου.

Τόφρα δ' ἡγεμόνος, ἐπὶ βήματος ἑζομένοιο,

Barrabas interpretatur filius magistri eorum.

Confertur Dominus innocentißimus cum latrone sceleratißimo.

Ignatius & Remigius asserunt diabolum huic mulieri timorem incußisse ad conturbanda crucis trophæa, si fortè per mulierem salutem nostrã impedire posset.

ἴφθιμη ἄλοχος, θυόεντα λιποῦσα ἴαυον,
δειμαίνουσα, φίλον ποτὶ ὃν μυθήσατο θυμόν.
ποῖοί με στρωτῶν λεχέων ὕπερ, ἐν θαλάμοισι.
ἡδὺ μάλα κνώσσουσαν, ἀνεπτοίησαν ὄνειροι;
τίς με τοιάδε φάσματ' ἐπὶ οὐρανίων προέηκε
νὴ δία οὐχὶ μάτην, τὸ γὰρ ὡς ὕπαρ εἶδον ὄνειαρ
Ὣς φαμένη: ἀνόρουσε ταχεῖ καὶ δμῶα καλοῦσα,
μηνύτορα προτὶ φίλον ἑὸν προΐαλλεν ἀκοίτην
καὶ φρενόουσα: δαΐφρονα μῦθον, ἐς ὦτα ἔλεξε.
ὦ κεχαρισμένε ἄκοιτα, τι νῶϊ, μηδοτιοῦν, καὶ
κείνῳ ἀμεμφέϊ ἀνδρί: παθοῦσα γὰρ ὕπνον ἔγωγε
σήμερον, εἵνεκεν αὐτοῦ, ὄναρ κατὰ, πολλὰ πέπονθα,
παννυχίη μοι ὄνειρα κατὰ φρένας ἐπτοίησαν,
δείδια μὴ μέγα, δή τι φέρῃ κακόν: ὅττι τάχιστα,
ἢ ἐὰν ἀνώγω σοὶ ἀποπεμπέμεν, ἐκτὸς ὀλέθρου.

Pontifices & seniores clam incitant populũ, vt Barrabã sibi dimitti petant, Christũ vero è vestigio morti tradant.

Οἱ δ' ἄρα ἡγεμόνες καὶ ἀρχέκακοι ἱερῆες,
κρύβδην ὠτρύνοντο, κατὰ χριστοῖο ἰησοῦ,
ὄχλον ἀμείλικτον, πλήμονι οἴστρῳ ἀΰτμῆς.
ὄφρα μιῆς γλώττης ἐφ' ὑφωμαδὸν, αἰτήσειεν
λῃστῆρα βαραββᾶν, κ' ἀβλαβῆ ἦα θεοῖο,
νόσφι τρίβης, προὔκα μαυρώσειεν ἀεικέϊ σταυρῷ.

Iudæi eum, qui ab æqualitate patris, ad paupertatem nostram descẽdit, vt nos à vero homicida diabolo liberaret, reiecerunt et infamẽ pro eo latronẽ postularunt.

Ἀνδράσιν οὐλόφροσιν, πίλατος πάλιν εἴρετο μύθῳ.
τοῖν δύο δεσμοφόροιν, τίνα νῶϊ ἀφεθέντα θέλεσθε,
ὔμμιν ὀλώϊον ἐκ δεσμῶν ἀπολύσω; ἰησοῦν
χριστὸν ἀναίτιον; ἢ ἢ λῃστῆρα βαραββᾶν;
νηίπολοι κακόχαρτοι ἄφαρ, λαοῖο μέδοντες
δύσθεοι, ἐχθρὸς ὅμιλος ὁμαρτῇ, στηνέα ἰϋγμὸν,
βωστρήσαντες, ἔφησαν: κραιπνῶς αἶρεο τοῦτον,
αἶρεο τοῦτον, νῶϊ καὶ ἄμμε ὄπαζε βαραββᾶν.
ὄρχαμος ἐξαυτῆς, μεμαὼς ταχὺ θυμῷ ἑτοίμῳ,
χριστὸν ἀμεμφῆ ἐᾶσαι, ἀμείβετο ἔμφρονι μύθῳ.

αἴκα

ἦκα βροτὸν ὑμῖν ἀπολύσω ἡμερόκοιτον,
εἴπατε, τί χριστὸν τὸν ἀμύμονα φῶτα ποιήσω.
δήϊοι ἔμπαλιν ἐκράξαντο ὁμόθροον ἠχῶ
φεῦ σκολοπίζεο, φεῦ σκολοπίζεο τοῦτο κάθαρμα.
καὶ τρίτατον πιλάτος, στυφελῇ ἀπέσεισεν ἰωῇ,
ἦα θεοῖο ἀνακεκλόμενον, πάλιν αὐτίον ηὔδα.
αἰτία τίς πότμοιο; τί φῶς παμφναῖον ἔτευξε;
ἄξιον οὐδὲν ὀλέθρου, ἐν ἀνέρι τῷδε κιχάνω:
τοὔνεκεν, οὐ θέμις ἐστὶν ἀμεμφέα ἐξεναρίζειν.
ἀλλ᾽ ἄρα μὶν πληγαῖσι δεδμημένον, αὖτε μεθήσω.
ἐσμὸς ὀϊζυρῶν μᾶλλόν τι ἀπείρονα κραυγὴν,
δεινὰ χανόντες ἀΰαχον, ἠδ᾽ ἐνέκειντο ὑπάρχῳ.
δύσμορος οὗτος ἀνὴρ, ἐφόδον σταυρούμενος ἔστω
οὔτις ὄλοιτ᾽, ἀπονοσφίσας καὶ ἀπηνεῖ πότμῳ,
ἄσπετος ὑστάτιον ῥ᾽ κατέχευεν ὠγμὸς ἀσελγῶν.

Præses quærit quid de Chri= sto fiet.

Τῇδε νικηθεὶς σαλάγῃσι λαοῖο περισσῶς,
χριστὸν ἀνέγκλητον, βλοσυροῖς θεράπουσιν ὄπασσε:
ὄφρα κε πλήξοιεν πληγαῖσι μὶν. οἱ δὲ μάλ᾽ ὦκα
ἀμφιπερίστιχον αὐτὸν ἑτοῖμοι ἐόντες ἄνοικτον
τοὔργον, οὗ διὰ νεῦμα τελέσσαι. πρῶτα καὶ αὐτὸν
εἵματ᾽ ἀποδύσαντες, ἀφειδέησιν ἱμασθλῆς,
πᾶν δέμας, ἐκ κεφαλῆς, ποτὶ τώ πόδε οὐτήσαντες,
ἱερὸν αἷμα δρέποντο ἀνηλέως, κὰδ δὲ οἱ ὤμους
ἕλκεσι ποιητοῖσιν, ἀπέρρεε φοίνικον αἷμα.
αἱματόεσσαι καὶ ψιάδες, κοχύεσκον ἔραζε.
καὶ τὸ μὲν ἐξετέλεσσαν, ἐφημοσύνῃφι ὑπάρχου,
Αὐτίκα δρηστῆρες κακόχαρτοι, δμῶες ὀλέθρου,
ποικιλόνωτον χριστὸν, ἔσω πολυχανδέος αὐλῆς
ἡγεμονῆος ἀπήγαγον: ἄψ φιλοκέρτομον ἐσμὸν
Συγκαλεσάντες ἀολλέες ἦξαν ἐς ὑψορεφὲς δῶ.
πρῶτα καὶ εἱλυμάτων, τὸν ἐγυμνώσαντο ἁπάντων.

Paßio Christi in prætorio.

Flagellis cæditur. Iesus iniuria flagellatus fuit, vt nos à vulneribus, quæ iure peccatis nostris perpeßi sumus liberaret. Propria veste exutum purpura induunt.

Spinis coronatur, vide August. lib. 16. de ciui. cap. 32.

κρᾶτα μὲν ἀμφίσκοντες, ἐπὶ χροῒ κάββαλον εἷμα
πορφύρεον· καὶ πλεξάμενοι ῥίπας ὀξυακάνθης,
τεύξαντο στέφανον πολυκέντορα· ὅνπερ ἔπειτα
ἀμβροσίῳ ἐφύπερθε καρήατι αὐτοῦ ἔθηκαν.

Ligneum sceptrum in manu datur.

καὶ ζαθέους κροτάφους στέψαντο. δόναξ ἐνὶ χειρὶ
δεξιτερῇ, ἅτε σκῆπτρον ἔην, καλὰ σύμβολ' ἄνακτος.

Contumeliosè salutatur iudæorum rex.

γνὺξ δ' ἐρίποντες, ἐφύβριζον, ἠδὲ καὶ αἰκῶς
ἤσπαζον βασιλῆ', ὑπέροπλα ἔπεσσι φλύοντες,
χαῖρε περίκλυτ' ἰουδαίων βασιλεῦ, στιβαραῖς καὶ

Alapis cæditur.

χερσὶν ἀμοιβαίως ζαθέας πλήξαντο παρειάς.
ἠδὲ ῥαπίσματα σμερδνὸν ἐδώκαντ'. ἰοβόλοισι

Conspuitur.

καὶ στομάτεσσιν ἐνέπλυσαν εἰς αὐτοῖο μετωπὴν

Ligneo sceptro percutitur.

δουράτεον σκῆπτρόν τε τόπερ πάρος αὐτῷ ἔπασσαν
δέγμενοι, ἄλλος ἐπ' ἄλλ', ἱερὴν ἐπατάξατο κόρρην.

Adoratur.

γούνατα καμπυλιαζόμενοι, ἐὰ κρᾶτα σεβοῦντες,
ἀπλοεπὲς θεόπαιδα προσεύξαντο, ὕβριν ἔχοντες.
ἄλλα δ' ἀικίσματα πολλὰ, ὀλοοὶ κερτομέοντες
ὠμηστῇ ἀνύοντο· βροτοῖς μέγα θαῦμα πύθεσθαι
οὐδ' εἷς ἂν ποτε, ταῦτα λέγων, ἀνύσειεν ἕκαστα·
ὅσσα λυτρώσιος ἡμετέρης χάριν, αἰνὰ πέπονθεν.

Iterum egreditur præses.

Ἔμπαλιν ἐκ μεγάροιο βέβηκε, προήγορος ἀνήρ,
καὶ θεὸν ἔξω, ὅπου ἄλλοι ἔσαν ἱερῆες ἄσεπτοι,
ἤγαγε, καὶ τοῖον μιαροῖσιν ἀνήρυγε μῦθον.
ἠνίδε, νῦν τοῦτον ποτὶ ὑμᾶς, ἔκοθεν ἄνδρα,
αὐτὸς ἄγω· ἵνα ἀμφαδίην, νῦν γνῶτε ἅπαντες,
καὶ σάφα γινώσκητε, κατὰ φρένα, ὅττι κεν ῥέδην,
αἰτίαν οὐδεμίαν ἐνὶ ἀνδρὶ ἐγ' ὦδα δοκεύειν·
οὐ πρόφασιν, οὐδ' ἀμπλακίαν θανατητόκον ἄλφω.

Christus egreditur non clarus imperio, sed plenus opprobrio.

Βῆ δὲ θύραζε θεοῖο πάϊς, κατὰ χρῶτα ἱμασθλῆς
δακνόμενος, μεμολισμένος ἠδὲ καὶ αἵματι δεινῶς,
ὀξυακονθῶν καὶ στέφανον, περὶ κρατὶ κομίζων,

πορφύρεόντε ποδηνεκὲς εἶμ' ἐπιειμένος ὤμοις.
Δηΐῳ, ἐξαῦθις πίλατος, μυθήσατο ἐσμῷ,
ἴχνια δεικνύμενος, σμερδνῶν βροτόεντα ἱμαθλῶν,
αἵματι μὲν σμώδιγγες ἀεικέα βεβρυθυῖαι.
τλήμονα φῶτα θεᾶσθε; συνωδέες ἀρχιερῆες,
ὄχλος ἀμείλιχος, αὐτὸν ἐνὶ βλεφάροισιν ὁρῶντες,
αἱ ἀπὸ τῆς κεφαλῆς, ποτὶ τὼ πόδε αἱμοφόρυκτον,
στηνέα ἦχον ὁμοφθόγγῳ βρυχῶντο λάρυγγι.
σταύρου τοῦτον ἀπαρτὶ, σταύρου τοῦτο κάθαρμα,
σταυρῷ ἕλοιτο μεσηγὺς αἰθέρος οὗτος ἀερθείς.
Ὄρχαμος αὖθις ἀμείβετο, ἀφραδέεσσιν ἔπεσσιν.
νῶι μύθοισι κακοῖσι ἐνίπτομεν, ἠδὲ βολῇσι:
βαλλόμενος καὶ ἐνισσόμενος, τετληότι θυμῷ,
πουλὺ ἀναίτιος οὗτος ἔπλημα. ἦ ῥάνυ κεῖνον
μάρψατε, θυμὸς ἐπεὶ ὔμμι, ἀναίτιον αἰτιάασθαι,
ἐς δόρυ καὶ χαλκήρεσι μὲν προσπεράξατε κέντροις,
ἠδὲ φονεύσατε, ὥς μενεαίνετε: οὐ μὲν ἔγωγε
ἀξίαν ἀμπλακίαν, θανάτοιο ἐπιλωέος εὗρον.

Οἰστρομανεῖς ἄρχοντι ἔπαψ ἱερῆες ἔφησαν.
ἡμεῖς ἑβραῖοι, γένος εὐσεβὲς Ἀβραμιδάων.
οἷς ἐπιπάγχυ μέλει πατρώϊα πάντα φυλάσσειν
πατρῷόν τ' ἐχόμεσθα νόμον, θεόπεμπτον ἐφετμὴν
τεύχεϊ θεσπεσίῳ τετυπωμένον: ὥσπερ ἐκεῖνος
κέκλεται, οὗτος ἄσεπτος ἀβὴς, ὤφειλε ὀλέσσαι
οἴτῳ ἐλεγχίστῳ: ὅτι ὑψιμέδοντος ἑαυτὸν,
υἷα ποίησε θεοῦ θεοείκελον: ἔξοχος ἀνδρῶν
τοῖον ἐν οὔασι δεγμένος ἦχον, ἄφαρ πλέον ἢ πρὶν
δείδιε δὴ πραπίδεσσιν ἑαῖς, φόβος ἔμπεσε θυμῷ:
ὠκέα ὁρμήσας, καὶ ὀπισθοπόρῳ ποδὶ βαίνων,
ἐς δόμον ἴχνος ἐκάμψατο, ἐχθρὸν ὅμιλον ἐάσσας:
καὶ πάλιν ἐξερέεινε θεὸν μύθοισιν, ἐνίσσων.

Vide August: Tracta: 116. super hæc verba.

Princeps intelligens se nihil sua inclementißima clementia et præpostera sapientia, posse efficere crudeli iudæorum ferocitati, Christum dari cupit.

Iterum ingreditur in prætorium & diligentius Christum examinat.

τίς σὺ πέλεις; πόθεν εἶ; πατρῷα τίς αἶα πελέσκει;
Ὣς δὲ ἔφη· ὃ δὲ σῖγα ποδῶν πάρος ὄσσε τιταίνων,
οὐδεμίαν λαλαγὴν, ἀντίαχε πρᾶος Ἰησοῦς.
Ἄρχος ἔπαψ' χείλεσσι, χολώδεα ῥήξατο φωνήν.
Οὐ σὺ ἔπεσσι μοὶ ἀντερέεις νῦν; οὐχὶ σὺ οἶδας,
ὅττι κεν αὐτὸς ἐνίσχω ἐπικρατίην, σὲ ὀλέσσαι
ὠμηστῇ σταυρῷ· καὶ ἐὰν βούλωμαι ἔνεστι,
τῶν σε ἀπαλλάξαι δεινῶν, ταχὺ ἐκτὸς ὀλέθρου
λῦσαι. ὑπερμενέα Χριστὸς μύθοισι μέδοντα
αὖθις ἀμείψατο, οὐδεμίαν, κατ' ἐμοῖο κατεῖχες
ἶφι ἐπικρατίην· τὴν εἰ μὴ ὑψόθεν ἦεν
νῶϊ δοθεῖσα· βροτὸς διὰ τοῦτο ἀνήμερος, ὅς με
ζωγρήσας, παρέδωκε τεῇ χερὶ, φρεσὶ στεγάζει
μάσσονα ἀμπλακίαν, καὶ μᾶλλον ἐπίσφατός ἐστι.
Κἀκ τούτου ἐπετηδὲς, ἐμερμήριξεν ὕπαρχος,
ἀβλαβῆ υἱὰ θεοῖο, παλίλλυτον ἠδ' ἀδίκαστον
ἐκ μοίρας θανάτοιο ἀφεῖναι. Ἀρχέκακοι δὲ
νηΐπολοί τε βαρύζηλοι, ὅλος ἐχθρὸς ὅμιλος
μᾶλλον ὀρυώθησαν, τοῦ ἀναιτίου αἵματος ἆτοι.
ἰϋγμὸν καὶ κράξαντες ἀθέσφατον, αὐτὶ ἔφησαν.
Αἴκα σὺ τοῦτον ἄφοινον, νῦν ἀπολύσῃ, ἀληθὲς
καίσαρος, οὐ τελέθεις φίλος ἄσιος εὐρυμέδοντος,
ὃν φάμεν εἰς μέγα σοὶ κεχολῶσθαι εἰ μὴν ἀφείη·
πᾶς τις γὰρ βασιλῆα ἑαυτὸν ἐτώσια, κλείων
κεῖνος ἀρίζηλον πρὸς καίσαρα, ποιμένα κόσμου,
† τόν τε κράτιστον ἐπιχθονιῶν πάνυ ἀντιφερίζει.
ὄρχαμος ὣς ἄϊσσε τάδε, εἶθαρ ἀπὸ θρόνου ὦρτο,
ἔνθα θάασσεν, καὶ ἰλλόμενον θεὸν, ἅμμασι σκληροῖς,
δώματος ἔξω ἐκώμασεν, ἠδ' ἐπὶ βήματος ὦκα
* ἕζετο· εὐλάιγγι λιθοστρώτῳ ἐνὶ θώκῳ
φωνῇ ἀχαιΐδι ὧδε φατιζομένῳ, ἀνοήτοις.

Si dimiseris Cæsaris nō es amicus.

† Pilatus audiens, se cæsaris amicum nō fore, si dimitteret filiū Dei foras eum adducit & tribunal cōscendit.

** λιθόστρωτος lapidib. stratus seu lapidauium Hebræis ab eminentia dictus.*

Γαββαθὰ

Γαββαθὰ πανδημεὶ, κληΐζετο ἑβραίοισι.

Στεῖχε δ' ἀρνοφάγοιο, πρὸ σάββατον ἦμαρ, ἑορτῆς
ἕκτης κραιπνοφόρης, περιτέλλετο ἴχνιον ὥρης.
καὶ πάλιν ἡγεμονεὺς, θεοεχθέϊ λαῷ ἔνισπε.

Ἤνι σχεδὸν σκηπτοῦχος ἄναξ, καὶ κοίρανος ὑμῶν
στεῖ, στέμμα φέρων βασιλήϊον, ἠδὲ καὶ ὤμοις
πορφυρέην λώπην ἐπιειμένος. ἄψα μέγιστον
ἐν ἀγορῇ βρυγμὸν ἀκόρεστοι αἵματος ἄνδρες,
πάντες ἔγειρον, ἰωκὴ ἀπείριτος αἰθέρα δῦνε,
νόσφι τριβῆς, ταχέως, σὺ ἀάατον αἴρεο τοῦτον,

Tolle, tolle.

αἴρεο τοῦτον, καὶ σκολοπίζεο τοῦτον ἀνοίκτως,
οὕτω ὀνειδίστῳ καὶ ἀνημέρῳ ἐξενάριξον.
τοὺς δ' αὖτε προσέειπεν ὁ ὄρχαμος, ἠδὲ καὶ ηὔδα.
σφωΐτερον σταυρῷ βασιλῆα δαμάσσω ἔγωγε;
καὶ μὴν ἀμειβόμενοι προσεφώνεον, ἄφρονι λύσσῃ.
οὐδένα ἄμμες ἄνακτ' ἐχόμεσθ', ἢ ἢ σεβόμεσθα,
εἰ μὴ καίσαρα, τόνγε μονόσκηπτρον βασιλῆα.

Non habemus regem nisi cæsarem.

Τὴν δὲ μέδων, ἐπακούσας λαοῦ ἀπείρονα μομφὴν,
ἠδὲ λάβρῃ σφετέρῃ νοέων, πάνυ οὐδὲν ὀφέλλειν.
ἀλλ' αἰεὶ μᾶλλον, θορυβώδεα λαὸν ἀλύσσειν.
νικηθεὶς, πέρας ἀσβέστῳ νὺ βοηθυῒ φώτων,
ἐκτολίπευσε, τόπερ ὁμοθυμαδὸν ἑσμὸς ὀλοιὸς,
λύσσαν ἔχων ὀλοὴν, ἤτοι φθονερῇσι μενοιναῖς.
καὶ κατέκρινεν ὄλεθρον, ἀνεγκλήτοιο ἰησοῦ.
δέγμενος ὀλκαῖον δ' ὕδωρ ἐπὶ χεῖρας ἔχευε,
καὶ προπάροιθεν ὁμίλου, ἐνίψατο χεῖρας ἀνάγλας,
θυμὸν ἔχων ἄδικον: τάδε καὶ σφὶν ἐρεύγετο μύθῳ.
πάγχυ ἐγὼ καθαρὸς καὶ ἀθῷος ἀφ' αἵματός εἰμι
τούτου ἀναιτίου, ὃν κατέκρινʼ. ὄψεσθε δ' ὑμεῖς.

† Victus Iudæorum clamore Pilatus, Christū, cui septies innocentiæ testimoniū dederat libidini & furori iudaico permittit.

Τὸν δ' ἀπαμειβόμενοι, φιλαίμονες ἔβρεμον ἄνδρες,
λαιμῷ ἀφειδεῖ. αἷμα ῥοδόχροον αὐτοῦ, ἀληθὸν

Præses externa aqua internā noxā abluere se posse existimans, culpā iudicij in Iudæos cōtorquet.

ἔξω ἐφ' ἡμᾶς, ἠδὲ καὶ ἐπὶ κλυτὰ ἔκγονα ἡμῶν.
καρπαλίμως δ' ἄρ' ἔπειτα, μεμηνότι λαῷ, ὕπαρχος
ἐκ συγερῆς εἱρκτῆς καλέσας, ληϊστῆρα Βαραββᾶν
φῶτα μιαιφόνα ἐγγυάλιξε, ἀνείμενον ἐκτὸς
τῆς μοίρας θανάτοιο: καὶ ὥσπερ ὅμιλος ἄνωξε
λῦσ' ὀλόων ἀπὸ δεσμῶν, ἃ πρὶν ἐδήσατο ἄγχων.
εἵνεκα τῆς στάσεως, ἀνδροκτασίης τε κλοπῆς τε.
υἷα θεοῦ δ' ἀνυπεύθυνον, αἰνὰ πεπαιγμένον, ἠδὲ
σμερδνὸν ἱμασθλῇσιν βεβολημένον, ὠκυμόροισιν
ἄψ πόρε, σταυρομόρῳ ἵνα ῥίμφα κτείνωσιν ὀλέθρῳ.

PARS QVARTA.

Carnifices & mortis ministri filium Dei condemnatum purpura exutum & proprijs indutum vestimentis è prætorio per vrbem, versus supplicij locū educunt.

** Crucis trabem Humeris suis ipse baiulare cogitur. Simoni Cyrenaico renitenti imponitur crux post tergum Christi, portanda.*

Ἀσπουδὴ στρατιῆς περιτεταγμένοι, ἄγχονες οὖλοι,
ἵλαδον ἀμφὶ οἱ ὡρμησάντες ἀφειδέσι χερσὶν
τὸν θεοπαῖδα, δίκην ἀδίκως ὠφληκότα, μάρψ-
καὶ πρόκα πορφυρέην ἐσθῆτα μὲν ἐξεδύσαντες, (αν.
ἀμπεχόνην σφετέρην, ἅτε καὶ πάρος εἵματι ἕσο,
ἀμβροσίῳ ἐξαῦθις ἐπὶ χροῒ, κάββαλον. εἶθα
τμηδὴν ἰχνεύοντες, ἐπ' οἶτον ἀεικέα εἷλκον.
* σταυρὸν καὶ βαρύφορτον, ἐπ' ὤμοις, αὐτὸς ἑαυτοῦ
ὤχμασεν, ἐς θανάτου τόπον. ὡς δ' ἔκτοθε πυλάων
ἄστεος ἔσχον. σφίσιν ἤντετο ἠΰς ἀνήρ τις,
γνήσιος αὐτοκασιγνήταιν γενετὴρ: Ῥούφοιο
ἠδὲ Ἀλεξάνδροιο, Βαώμενος οὔνομα Σίμων.
ἰθὺ μολόντα τὸν ἀγρόθεν ἶφι κρατηπέμενον μὲν
ἠνάγκαζον, ἀερτάζειν ποτὶ θῶκον ὀλέθρου,
σταυρὸν ὑπερβελθέα, χριστοῖο ὄπιθεν ἰησοῦ
ἠπεδανοῦ, ἐξαθενέοντος φόρτον ἀγέσθαι.
Ἀγχιφανὲς μέγα οἱ, πάμφυρτον ἐφέσπετο πλῆθος
λαοῦ ὀλωΐου, ἠδὲ γυναίκων θηλυτεράων.

δεινὰ

δεινὰ γὰρ αἳ στέναχον, καὶ ἐπικλαίοντο ὀϊζὺν
καὶ μόρον οἴκτιστον, παντλήμονος ἀνδρὸς Ἰησοῦ.
ἐκπάγλως ἀχέουσαι, ἔραζε πολύστονα λεῖψαν
δάκρυα: ὡς ἐνόησε θεὸς στοναχήν τε γόοντε
ἐντρεπαλιζόμενος, ἐπιταίνετο ὄμματ' ὀπίσσω,
τὰς καὶ ὀλοφυρομένας προσεφώνεεν, ἠδὲ καὶ ηὔδα
ὦ ταὶ θυγατέρες σολύμων μὴ κλαίετε, μηδὲ
σκυθρωπάζετ', ἐμῆς μοίρας χάριν, οἰκτροτάτης τε
ἀλλ' ἄρα ῥύβδην δάκρυα λείβετε, αἰάζουσαι
δάκρυα λείβετε πικρ' ἐφ' ἑαυτάς, ἠδ' ἐπὶ ὑμῶν
τέκνα λοφιδνὰ καὶ ὀϊζυρώτατα: ἠνίδε καιρὸς
ἔσσεται ἡνίκα ἐξολολίξατε πᾶσαι ἰϋγμὸν,
ἰὴ ἰή, ὀλβία ἐστὶ γυναίκων θηλυτεράων
στεῖρα, ἣ οὐκ ὠδῖνας ἀνέτλη, ἧς ἐνὶ νηδυῖ,
ζωτικὸν οὐ βλάστημα ἔκειτο, ὑπέμβρυον ἠδὲ,
λαρὸν ἐπισπομένη, ἐπὶ χείλεσι μαστὸν ἀραίοις,
λευκῷ οὐχὶ γάλακτι ἐτρέψατο, ὄλβια ἣ σῖ.
Τηνὶ ἱμασσόμενοι, βελέεσι βροτοὶ ὀξυτέροισι
ἐξωλείας ἀφύκτου, ἱκεσίην τινὰ κραυγὴν,
οὔρεσι καὶ βρουνοῖς, ῥήξουσιν παιπαλόεσσι.
οὔρεα, οὔρεα, νωϊτέρην ἐπιθρώξατε κόρσην,
καὶ ῥοιβδησάμεναι, ῥοιζηδὰ καλύψατε ἡμᾶς,
κλωμακόεσσαι ἐρίπναι, ἵνα μὴ ἔτι πενθὰς αἰνή,
τούς ἐπὶ δὴ πάντων, ὀλοώτατα πήματ' ἔχοντας.
καὶ οἰκτροτάτους πάντων, φεῦ, ἐπιχθονίων ἀνιήσῃ:
Εἰ γὰρ ἐν ἰκμαλέῳ ἔρνῳ, νῦν ταῦτα ἐτύχθη,
τί φρυγάνῳ ἐνὶ καρφαλέῳ, μετέπειτα γένηται.
Ἄμμιγα ἠδὲ δύω ἐβιῶντο, κατήφονε φῶτε,
πότμῳ ἐνὶ σταυρῷ θελήμονες ἐδνοπαλίζειν.
προερχόμενοι συνάγοντο, θοῶκον μεσφὰ ἵκοιον,
Γολγοθᾶ ἑβραϊστὶ βοώμενον, ἑλλάδι ὁ φωνῇ

Apostrophe Chrtsti ad mulieres.

Montes cadite super nos.

Si in viridi hæc, quid in arido fiet.

Duo scelerati cum eo interficiendi abducũtur, vt ignominiosa magis et atrox videretur mors Christi.

Locus caluariæ in monte gibonæ. Legatur Hiero. in Matthæum vbi mysterion huius loci exponit.

ἐστὶ σαφηνισθέν: χῶρος εὐτροχάλοιο κρανίου.
αὐτὰρ ἐπειδὴ ἦγον χῶραν ἐπὶ τῶν κακοέργων
† αἶψα ὑπηρέται ἐμμεμαῶτες τοὔργον ὀλέθρου
ἐκτελέσ' ὀξάλμην τε ἐσμυρνισμένον οἶνον
πευκεδανῇ φι χολῇ κεκερασμένον, αἶψ' ἐδέχοντο.
καὶ γλαφυρὸν πλήσαντες ἄλεισον, ἀδευκέος ἄλμης,
χείλεσι διψαλέοισιν ὄρεξαν, χριστοῦ ἰησοῦ.

† Christo datur acetũ felle & myrra mixtũ. Psal. 68. 22.

ἀλλ' ὅτε ἐκπικροῖο ποτοῖο ἐγεύσατο, οὐ μὴ,
ὄξος, ὅπερ κακοεργήτορες ὤρεγον, ἤθελε πίειν.
Τηνὶ μιάστορες ἄνδραγχοι τε δμῶες ὀλέθρου,
εἱλυμάτων ὧν γυμνωθέντα, μὶν ἐξετάνυσσαν
σταυροτύπῳ ἐπὶ δούρατι, καὶ γόμφοισι σιδήροις,
ἀμφοτέρωθεν χεῖρε ταθεῖσ' ὤρυξαν, ὁμοῦ καὶ
συμπλοκέας πόδας, ἀντιτόρησαν στρηνεῖ χαλκῷ,
ὕψωσαν μεσσηγὺ τε αἰθέρος, ὑψιμέδοντος
υἱέα θεοῦ: κάθομον δύο ληστὰ, μιηφόνω ἄνδρε
πότμῳ ἔνι σφάξαντο, ἕνα περὶ δεξιτερὴν, καὶ
ἐξ εὐωνύμου ἄλλον ἄτερθεν, μέσσον ἰησοῦν,
οἷά τε ληστάρχην μιαρὸν, τε ἔξοχον ἄλλων,
πασοπίην κακότητα, κακοὶ ἐπέταξαν ἀλιτροί.
τόφρα ἢ θέσφατον ἀστεμφὲς, ζαθέοιο προφήτου
Ἡσαΐαο, τόπερ πάλαι ἦν, τετελεσμένον ἐστί.

Nudus extenditur in cruce.

Medius inter duos ob latrocinia dãnatos crucifigitur. Esa. 53.

παμμεδέοντος ἀμεμφέα τε κακότητος ἀθῷον
υἱέα θεοῦ, ἀποπεμπλοτάτοις λήσταισι τε οὔλοις
φωσὶ, παρείκαζον θεοεχθέες. Αὐτὰρ ἐπειδὴ.
ὠμηστῇ τελέσσαν ὀλέθρου ἔργον ἀλιτροί,
καὶ χριστὸς σκολοπισθείη, τρίτη ἔτρεχεν ὥρη.
ὑψοκρεμασθεὶς δ' ἀρχιερεὺς, ἱκέτευσε τοκῆα,
ὧν ὕπερ ἐχθομένων, γε φονήων, μῦθον ἐρεύγων
ὦ πάτερ ἀμπλακίαν, μὴ στήσῃς, ἀνδράσι ταύτην.
οὐ νὺ γὰρ οἱ φρενόληπτοι ἴσασι, τί νῦν ἀνύουσι,

Summus pontifex in ara crucis orat pro inimicis.

οὐδέ τι

οὐδέ τί μοι δρῶσιν, ἀτλήμονες οἴδασιν ἄνδρες.
Τόφρα δὲ ἡγεμονεὺς πίλατος διάγραμμα τύπωσε
ἢ τίτλον, πρόφασιν διασημαίνοντα μόροιο
* ὅν γ' ἐχυρῶς τοῦ ἔρξαν ἐπὶ σταυροῖο κόρυμβον,
τῆς ἐπάνωθι κάρης, ὑψωσαμένοιο θεοῖο.
ἐν δὲ θρυαλλίδι, ἣν κεχαραγμένον, ἴδμονι χειρὶ:
τριπλάδι ἀμφαδίην διαλεκτῷ, δηλαδὴ, ὀμφῇ
ῥωμαϊκῇ, ἅμυς ἑβραϊστὶ, καὶ ἑλλάδι φωνῇ.
Ἐνθάδε ἐσκολοπίσθη, ὁ Ναζωραῖος ἰησοῦς,
Σκηπτροφόρος βασιλεὺς, καὶ κοίρανος Ἀβραμιδάων.
ἀλλότριοι πολλοὶ μέροπες, τότε τίτλον ἐκεῖνον
εἰσορόωντες ἀνέγνωσαν ὅτι χῶρος ὀλέθρου,
ἧχι θεοῖο πάϊς, γῆς ὑψόθι, οἷά τε σκώληξ
ὄρθιος ἐξεπετάνυσθη, ἔην περίοπτος ἴωρος,
ἐγγὺς ἐϋκτιμένοιο πτολέθρου. ἱεροσολύμων,
Τὴν δ' ἀτάσθαλοι ἀρχιερῆες ὑπάρχῳ ἔφησαν,
λυσσόμενοι μὲν ὑπὲρ θυέων: ἵνα τίτλον ἀνορθοῖ,
τοῖον ἔπος καὶ ἔρευγον- φίλτατε ὄρχαμε ἀνὴρ,
μὴ γράφε τοῦτον ἰουδαίων σκηπτοῦχον ἄνακτα,
ἀλλ' ὅτι τῆνος ἔφη, σφετέρῳ δαμασίφρονι μύθῳ
μουνόσκηπτρος ἰουδαίων, τελέθω βασιλεύς. καὶ
αὖθις ἀμειβόμενος ἀντίαχεν, ἰσχυρογνώμων.
ὄρχαμος. ὅσσα χάραξα, χάραξα,: θεοστυγέες δὲ
δρηστῆρες, προτεταγμένοι ἀσπιδιῶται, ἀσελγεῖς,
εἵματα αὐτοῦ ἄφαρ, περικαλλέα χερσὶ δατεῦντο:
τέσσαρα καὶ μέρη ἔμμοιραν, ἰδρηστῆρι ἑκάστῳ,
τέλλιν ὑπ' ἄθλου. εὔστιπτον μετέπειτα χιτῶνα
εὐυφῆ, ὃν μὴ ὕποξις ἀναῤῥάψασκεν ἀκέστρη:
καιρωστὴς ἄτερ ἦν, καθόλου ὑπένερθε καὶ ὕπερθε.
οὗ χάριν ἀλλήλοισιν ὀπάονες ἠγορόωντο.
μὴ τμάσσοιμεν, τοῦτο μαχαιρίδι φᾶρος ὑφαντὸν

Illis petebat veniam à quibus adhuc patiebatur iniuriã nõ enim attendebat quod ab ipsis moriebatur, sed quia pro ipsis moriebatur. August. tra. 131.

** Titulus supra caput crucifixi Christi figitur.*

Iudæi titulum corrigi volũt.

Milites diuidunt inter se vestimenta filij Dei. Psal. 22.

Cyprianus Tract. 3. de simplici: prælatorum mysticε exponit.

ἀλλὰ λάχωμεν ὑπὲρ αὐτοῦ, ἀμαχητὶ λάχηφι
ἡμείων τινος ἔσται ἐναίσιος ἥνδανε μῦθος.
οἱ δέ αὐτίκα κλῆρον ἐσημήναντο ἕκαστος,
λαχμῷ καὶ πεπάλαχθον: ἵνα πληρωθῇ ἀληθὲς
ᾆσμα τόπερ θεόπνευστος ἄναξ ἔμελψε κινύρᾳ
Θοιμάτιον δάσαντο ἐμόν, καὶ κλῆρον ἕηκαν

Faciebat ista populus impius, patiebatur ista Christus misericors.

ἡμετέρης ὑπὲρ ἀμπεχόνης. ληΐστορες ἄνδρες,
τοῦτο θεοβλαβὲς ἔργμ᾽ ἄνυον, παρεόντος ὁμίλου.
οἴκτιστος γὰρ ἄγυρμος ὀλωΐων πανταχόθεν μὶξ
παρστάμενος, δεινὸν ἔδερκε δύσθεον: ἄλλοι ὀπηδοὶ
ἑζόμενοι στεφανηδὸν, ἐτήρουν αὐτὸν ἀθερέως.

Mater Christi iuxta crucem stans tristia sui filij fata., funestissimis moeroribus luget.

Ἀγχόθι καὶ σταυροῖο ἰησοῦ, πότνια μήτηρ
δείν᾽ ὀλοφυρομένη, καὶ κηρόθι ὠάζουσα
υἱὸν ἑὸν, ὀλοώτατα πήματα ὀτλήσαντα,
ἵστατο. ἡδὲ κασιγνήτη τοῦ κλωπᾶ ἀκοίτης,
αἷς ἅμα Μαγδαλινὴ Μαρίη κ᾽ ὀδυνηραὶ ἑταῖραι,
δάκρυα θερμὰ χέοντες ἄδην. δὴ ῥα μητέρα κεδνὴν,
αἰνοπαθὴς φαέεσσι δεδορκὼς. ἀγχιφανῆ καὶ
φοιτητὴν νέον, ὅνγ᾽ ἐφιλήσατο κηρόθι λίην.
τῇ μὲν σταυρόθεν ἧκεν ἔπος. νιῶ ἠνὶ γύναι, σοῦ
οὗτος ἔφυ φίλος υἱὸς: ἐλέξατο τῷ δε ἔπειτα
ἠνὶ τεκοῦσα τεὴ ἀπὸ νιῶ αἰδῶν ἐτύχθη.
Φῶς ζάθεος, κείνης μετὰ κραιπνοφόρ᾽ ἴχνια ὥρης,

Omnes omnis generis homines pendentẽ in cruce Dominũ, sannis, conuicijs & exprobrationibus proscindunt.

παρθένον, ἄψ σφετέροιο θεητόκον, ἔνδοθεν οἴκου
ἀσπασίως ὑπέδεκτο, καὶ εὐμενέεσσι μενοιναῖς,
ὡς ἦν, μητέρα στέρξε, καὶ αἰὲν ἐκήδετο αὐτῆς.
Οἱ δ᾽ ἄρα ἀμφοτέρωθεν ἀποιχόμενοι ἀθέμιστοι,
κερτόμεον φιλοκέρτομοι, ἠδὲ ὕβριν ἔχοντες
κρᾶς ὑπέροπλον ἔσειον, ὀδὰξ ἐν χείλεσι φύντες.
αὐχένα καμπυλίαζον ἑὸν, ὑπέροπλα χάνοντες.
οὐαὶ τοὶ, ἱερὸν τὸ ἀμαλδύνοντι μέλαθρον,

Milites.

ἤμασι

ἤμασι καὶ ἐν τρισσοῖσι. νεήλατον οἰκοδομεῦντι,
γνήσιος εἰ σὺ τέκος τοῦ ἀειζώοντος ὑπάρχεις
βῆθι κατὰ σταυροῖο τανῦν, καὶ ῥύσεο σαυτὸν
τῶν ἀτέων, πότμοιο ἀπηνέος. ἀρχιερῆες
ἑξομόθεν ποτὶ ἀλλήλους τε σὺν οὐλομένοισιν — *Sacerdotes.*
πρεσβυτέροισι θεοστυγέεσσι σὺν ἐσμῷ ἀθέσμῳ — *Seniores.*
οἱ καταχαγχάζοντες ὀνείδισαν, ἠδ᾽ ἐπέμιξαν — *Populus.*
λαβροβόροις στομάτεσσι καὶ ἴαχον, αἶνα φλύοντες
παντόσε ἠοσήσατο ἄλλους, σῶσε καὶ ἄλλους,
οὐ δύναται νῦν δεινὰ πεπονθότα σῶσαι ἑαυτὸν
εἰ ὅδε χριστὸς ἔφυ, καὶ ἄναξ βρειμὸς Ἀβραμιδάων — *Sarcasmi virulenti.*
σωσάτω ἄρτι ἑαυτὸν, καὶ κατὰ αὐτίκα βήτω
σταυροῦ, ἑοῖο κράτους ἀσεμφέα δόσθω ἔλεγχον.
ὄφρα κεν οὐρανίην, ἀναφανδὸν οἱ ἰαχὼ ἴδωμεν:
ἠδὲ πιθησώμεσθα οἱ ἀσφαλέεσσι μενοιναῖς.
εἰς θεὸν ἐλπίδ᾽ ἔθηκε, τανῦν ῥύσαιτό μιν ἄτης,
καὶ ἁρπάζοι κακότητος, ἢ οἱ καταθύμιός ἐστι,
εἰ τόσα μὶν φιλέει, εἰ κήδεται. εἶπεν ἀεὶ γὰρ,
παμμεδέοντος ἔφυν πάντων κεχαρισμένος υἱός. — *A latronibus illuditur.*

Ἄμμιγα καὶ δύο νυκτίλοχοι, ληΐστορες ἄνδρες
ἐξετανυσθέντες, ἐπὶ σταυρωτίποιο ξύλοιο,
ὑβριστάτην, προφέροντο ὀνείδεα, τὸν καὶ ἐπέμιξαν.
δμῶες ὀλέθρου ὁμαρτῆ, σκυθρωπὲς ἀπειδιῶται,
ἀγχόθι νυσσόμενοι ὀξάλμην πικρὰν ὄπασσαν
χείλεσι φὰν καὶ ὑπέροπλα ταχεὶ νῦν ῥύσεο σαυτὸν
εἰ σὺ ἰουδαίων βασιλεὺς στεφανηφόρος ἐσσί.

Φὼς μὲν ἑεὶς σκολοπισθέντων ὅσγ᾽ ἐκτετάνυστο
οἱ πέλας ἐξ εὐωνύμου ἀγχίστισιν ὁμοίως,
(δεινὰ πιθέσθαι) ἔπεσσι, θεῷ ἐκύδαζε, λαβράζων.
εἰ σὺ ὁ χριστὸς ἔφυς θεοείκελος, ὥσπερ ἔφασκες:
ῥύσεο δεινοπαθόντα σεαυτὸν, ῥύσεο καὶ ἡμᾶς,

τῶν ἀτέων καὶ κινδυνώσιο, ἀνηλέος οἴτου.

Τεῦ καταμεμφόμενος, ἠμείβετο ἄλλος ὀδύνης
ὑψικρεμασθεὶς δεξιάδην. Φεῦ λῆγε ὀνείδους
οὐ σὺ περιτρομέεις πραπίδεσσιν ἀμιώτερα μυστέων
παμμεδέοντα θεὸν: διότι τιμήματι ἴσῳ
ζημιόῃ, δὴ ὀλφοῖσιν πάνυ νῶι δικαίως
τιμάομαι θανάτιο: γὰρ ἀξίαν, ἀμπλακιάων
νωϊτέρων, ἐχόμεθα δίκην, ἀντάξιον ἄτην
οὐλομένων ἔργων. ἄρα οὗτος ἀναίτιος ἀνὴρ,
ἄξιον οὐδὲν ὀλέθρου ἀνηλέος, οὔποτε ῥέξε.
καὶ ποτὶ χριστὸν ἔπαψ, ἐπιταίνετο ὄμματα λοξὸν,
λυσσόμενος κραδίῃ, ἄπλαστον ἐρεύγετο εὐχήν.
κοίρανε, ἵλαος ἴσθι ἐμοὶ καὶ μνώεο μεῖο,
† ὄκκα πάλιν νοστήσῃς ἔνδον σοῦ βασιλείας.

* Ἰησοῦς ἀπαμείψατο, χέων οἰκτήρμονα φωνήν.
νημερτὲς τὶν ἐνίσπω ἐμοῦ σὺ πίθησον ἰωῇ.
κουφισθεὶς ὀδύνης, καὶ ἀλγηδόνος, αἰπέος οἴτου:
σήμερον ἔσσῃ ἐμοῖο συνέμπορος οὐρανίοιο
τοῦ παραδείσου ἔσω μετέχων βίου ἀϊδίοιο.

Σῆμα σχεδὸν κατ᾽ ἕκτης μορογνέτος ἵστατο ὥρης
Ἀγχλυόεσσα ὁμίχλη ὅλην ἐκαλύψατο γῆν, καὶ
οὐρανὸς ἀμφιχύθη σκοτίην νυ πελώριον, ἤτε
ὥραις ἐν τριοσσῆσι χρονίζετο: ἐννάτῃ ὥρῃ
δέγυφον αὐτικρὺς φάος ἠελίοιο, ἀχοῦντος
κτισοῦ ἐοῦ μόρον, ἐξάλλαξε ζοφωδῆ ἐς ὀρφνήν.
πάντοθι νὺξ σκοτόεσσα ὀρώρει, ἤματι μέσσῳ.

Καὶ τότε μακρὰ βόησε, πολύτλας δῖος ἰησοῦς.

אֵלִי אֵלִי לָמָה עֲזַבְתָּנִי

Τοῦτο γὰρ ἐσθ᾽ ἠλεὶ ἠλεὶ λάμα σαβαχθανὶ.
τίπτε θεὸς μοῦ, τίπτε θεός μ᾽ ἀπιπάχυ ἀφῆκας,

† Latroni à dextris promittitur vita æterna.

* Veritas cum iniquis deputata, vnum reliquit ſiniſtrũ, alterum aſſumit dextrum, ſicut in die iudicij faciet. Ex ſimili crimine diſsimiles ſortiuntur fines.

Dies à 6. hora vſq; ad 9. hoc eſt à 12. vſq; ad 3. pomeridianam in tenebroſam noctẽ verſus, vt ſtellæ in cœlo viſæ ſunt, teſte Phlegone 14. lib.

Querela Chriſti triſtiſsima.

δύστηνον καὶ τλήμονα ἐν πόνοισι κακοῖσι
παρεστάμενοι ἤ τινες βροτοὶ ἄγριοι, ὄξυν ἀϋτμὴν,
οὔασι πευθόμενοι, φθέγξαντο ἀμοιβαδὸν: οὗτος
οὗτος ἀνὴρ, ἠλίαν ἀοσσητῆρα κάλεσσε.

Αὐτὰρ ἰησοῦς φρεσὶ νοῶν, ὅτι πάντα διάμπαξ,
ἐς πλήρωσιν ἐπείγετο, δυσσεβέσιν θεράπεσσιν
λέξε: λίαν διψώω: ἐκεῖθι κύπελλον ἔκειτο,
ἔγκυον ὀξάλμης. καὶ ἐπίτροχος εἶθαρ ἀνὴρ εἷς
βουδρομέων πιμπλήσατο σπόγγον δεραῖον ἀδευκοῦς
ὄξεος, ὑσσώπῳ τε μεμιγμένου: ὅν τε ἔρεισε,
εἰς ἄκρον δολιχοῦ καλάμοιο, καὶ ὄρεξεν ἰησοῦ,
χείλεσι διψαλέοις. καὶ κεκράξ' ὑπέροπλα πρὸς ἄλλους.
δεῦρ' ἑταῖροι, ἴδωμεν, εἰ ἅρματος αἰθαλόεντος
ἠλίας ἐλατὴρ, νῦν ἵξεται αὐτῷ ἀρῆξαι.
ἀλλ' αἰκίσματα πολλὰ μιάστορες ὑβρίσαντες
ὠμηστῇ ἀνύοντο, βροτοῖς μέγα θαῦμα πιθέσθαι.

Spongia aceto impleta per arundinem ori eius admouetur.

Milites Romani, linguæ qua vtebatur in inuocatione Dominus, ignari: ipsum existimant implorare Heliæ auxilium.

Ἀλλ' ὅτ' ἀδευκέα ὀξάλμην, χείλεσι πέπωκε
αἷψα τριαμβεύων, ἐπινίκιον ἤδιον ᾖσε.
πάντα τανῦν τετελεσμένα ἐς ἐπίπαγχυ: πάλιν καὶ
μακρὸν ἄϋσεν, ἐπεὶ θανάτου σχεδὸν ἦεν ἀφύκτου.
φθέγμα λάρυγγι τελευταῖον ἴαχε, χριστὸς ἰησοῦς.

Πνεῦμα ἐμὸν, πάτερ ὑψίμεδον, παρὰ σεῖο τίθημι
χερσὶ φερεζώοις καὶ αὐτίκα κρᾶτα προκύψας,
πότμος πότμου ὀλίου, ἑκουσίῳ εἷκατε πότμῳ.
ψυχὴ δὲ θείη, ἐκ σώματος εἰς θεὸν ἔπτη.

Cõmendat patri animam & cum ingenti clamore emittit spiritum.

† Θνησκομένου χριστοῦ, τερατώδεα ταῦτα ἐτύχθη.
ἀρπεδὲς ἱερὰ διαφράξας, ναοῖο πέτασμα,
ἐς δύο ἐσχίσθη, ἀπ' ἄνωθεν, ἐς ἔσχατον ἄκρον,
ἡ δὲ τε χαλκοβατὴς γαίη ῥοιζηδὸν ἐσείσθη,
καὶ πεδόθεν ἐτινάσσετ': ἐπέστενε μακρὸς ὄλυμπος:
ἄρρηκτοι λίθοι ἤδη διαρρύχθησαν ἑκόντι:

† Prodigia moriente Christo facta.
Velum templi scissum.
Terra debiscit.
Rupes golgatana & saxa sponte rumpuntur.

Monumenta sanctorũ franguntur, quorum corpora resurgente Domino etiã excitata sunt.

ἀμφιπαγέων ἀνεῴχθησαν καὶ χάσματα τύμβων,
ἐξ ὧν παμμακάρων νεκύων, παλινάγρετα πολλὰ
σώματα, ἃ πράως πάλαι ἔδρακε πότμον, ἀΐξαν.
νοσίμου ἐξ ἀΐδαο θεοῦ, μετὰ πάντες ἔπειτα
σώματ' ἐεσσάμενοι αὖθις, ψυχάς τε ποθεινάς,
σπώδρομ' ἀολλέες, ἱερὸν ἄστυ ἵκοντο σολύμων.
ἦχι βροτοῖσιν ἐπιχθονίοις πολλοῖσι φάοντο.

Militum hæc videntium & centurionis de Christo pia confeßio.

Ἀντιπέρας σταυροῖο δ' ἵστατο ἔξοχος ἀνδρῶν,
καὶ μέγα ἱδρηστῆρες ἄρηος, ὀπάονες ἄλλοι,
οἵτε σωρηδὸν ἔχον φυλακὰς καὶ χριστὸν ἐτήρουν.
ὀφθαλμοῖσιν ἐπικλιώτην, τέ πελώριον ὀρφνὴν,
πευθόμενοι κ' ἀλάλαγμον, ἀποψύξαντος ἰησοῦ
ἠελίοιο κνέφας, περιθαμβέα ἔργα ἰδόντες.
σφόδρα περιτρόμεοι πραπίδεσσιν, θάμβος ἀνιγρὸς
εἷλε φρένας, κλείοντες ἄφαρ, θεῷ ὑψικεραύνῳ,
δόξαν ἔδοντο. καὶ ἀλλήλοισιν ἔφησαν: ἀληθῶς
οὗτος, ἀληθὴς υἱὸς ἔφυ θεοῦ ὀβριμοέργου
ἠδὲ δίκαιος ἀνὴρ, καθαρὸς κακότητος ἁπάσης
ἀπείρας. ὁμοῦ τι παρισταμένη καὶ ἀμήριτος ὄχλος
ἔνθα καὶ ἔνθα συναγρόμενος μίξ, οἷσι θεᾶσθαι
ἐν βλεφάροισι. θηήματ' ἀδευκέα ταῦτα δεδορκὼς
οὔασι καὶ τρομεροῖς, ἐκπληκτικὸν ἦχον ἀκούσας,
στήθεα μεταμάζια, χερσὶ πάταξαν ἅπαντες,
ἂψ κ' ἀναχωρησάντες ἑὸν ποτὶ δῶμα νέοντο.

Cognati & amici Christi, cruci astant.

Πόῤῥωθεν δ', θεοῖο ἀολλέες ἦσαν ἑταῖροι,
συγγενέες τε φιλόστοργοι ἀγχίποροι ἄλλοι,
οἵτε μάλιστα φίλοντο μιν, οἵτε καὶ αἵματος ἦσαν
δεινὰ ἀποκλαίοντες, ἀπηνέα μοῖραν ἰησοῦ,
τοῖο νεοθνέος. ἠδὲ γυναικῶν δακρυχευσῶν
ἔστη ἐκεῖ χορὸς: αἳ χθονὸς εὐπύργου γαλιλαίου
ἐξέβαν, οἳ σπόμεναι, ποτὶ γαῖαν ἰσακιδάων.

Mulieres quæ secutæ fuerãt filium Dei ex Galilæa in Iudæam, unà sunt.

τοὔργον ὅπερ διάνυτλον ἀτάσθαλοι ἄνδρες ὁρῶσι.
αἷς ἅμα μαγδαληνὴ μαρίη βαρυδάκρυος ἦλθε,
ἄλλη καὶ μαρίη ἰακώβου σμικροτέροιο,
μνηστῆρος τε τεκοῦσα ἰωσῆ, ἠδὲ σαλώμη
τῶν, οὗ, θεσπεσίου σεβεδαίου πότνια μήτηρ.
αἳ πάρος εὐμενεῖ τίν ὑπηρετέοντο λατρείῃ
παντοδαπῶς τῷ χριστῷ ἄνακτι καί, αὐτῷ ἕπεσπον
αὐτομάτην στείχοντι πέδον γαλιλαιάδος αἴης:
κεῖθι γυναῖκες ὁμοῦ τι θεουδέες ἄλλαι ἔμεμβλον,
αἵ τε θεῷ νεολύτῳ ἀνὰ, πτολέθροιο σολύμων
τοῦ ἱεροῦ ἐπέβησαν, ἄμυς δράκον ὅσσα ἔγεντο.
    ξενοφάγου ἀντικρὺς ἐπείδε, προσαββάτου ἦμαρ
ἔτραπε, φῶς καὶ ἀναστείλασα κατήϊεν, ἠώς
ἐς δύσιν. ἐγγὺς ἐτησίου ἧκε τε κῶμος ἑορτῆς,
τῆς μεγάλης μανιώδεες ἀρχιερῆες, ἄσεπτοι
ἑβραῖοι θ' ὑπέδυσαν, ἄφαρ, πολυχανδέα οἶκον
ἡγεμόνος, λιπαροῦντο μὲν εἰς μέγα ὄφρα κε φώτων
ὑψικρεμασθέντων, νεοθηγέϊ ῥίμφα σιδήρῳ,
γυῖα διατμήσοιντο βιώσιμα, ἠδ' ἐνὶ σπηῒ
ἐνταφιάζοιντο. μὴ δ' ἐπὶ σταυροῖο ταθέντα
σώματα νεκρὰ βέβηλα μιάνῃσι ἐν ἤματι ἱερῷ
πανδημεὶ πολυκληΐστῃ, ἐν ᾧ ἱερατεύειν,
δρᾶν καὶ ἔννομα ἦν δέον: ὅππῃ ὁ θεσμὸς ἀνώγει
αἶψα ἵκοντο φιλάμμονες ἱδρηστῆρες ἀρῆος,
ἐκτελέσαι μεμαῶτες ὀλέθρου ἔργμα: ταθέντος
πρῶτα ἑνὸς λῃστοῖο πόδας φλαδιῶντο: πρόκ' ἄλλου
ἐξεταννυσθέντος κυβάλοιο, νεήκεϊ χαλκῷ,
σύντριβον ἐξομόθεν σκέλη, ὀστέα ἠδὲ κατέαξαν.
παιδὶ θεοῦ γὰρ νέον νενεκρωμένῳ οἷά τε νεκρῷ,
οὐχὶ σιδήρῳ γυῖα διάκλων. ἀλλὰ ταχὺς εἷς
λογχήτων ὅρμησε χ' ἐῷ καλκήρει ἔγχει,

Iudæi Pilatũ rogant, vt curet illorũ crura confringi, quò mors acceleretur & tollerentur, ne sui conspectu diem festum funestarent.

 πλευρὴν

πλευρὰν ἀντετόρησε: καὶ αὐτίκα ἔγχος ἀνασπῶν,

Sanguis & aqua copiosè ex aperto latere Christi effluit.

ἠρώησεν, ἀπὸ πλευροῖο νενυγμένου, ἄλλην
αἷμα ῥοδόχερον, ὕδατος εἶτα κε χεῦμα διειδοῦς.
Θεῖος ἀνὴρ, φαέεσσιν ἑοῖς, τάδε πάντα δεδορκὼς
αὐτὸς ἐμαρτύρησεν, ἐῷ ἀψευδέϊ μύθῳ:
εὖ μάλ' ἐπιστάμενος, τὰ ἐτήτυμα ἦμεν ἐλέγχει.
ὄφρα νόῳ πειθήμονι πιστεύσητε καὶ ὑμεῖς.
ταῦτα ἐτύχθη ἅπαντα διαμπερές. ὄφρα κεν ὀμφὴ

Exo. 12. Numer. 6. Zacha. 12.

ἔνθεος, ἣν ἐχάραξεν ἀνὴρ, τετελεσμένη εἴη
ὀστέον οὐ συντρίψετε αὐτοῦ: λέξε καὶ ἄλλη
θεσπίη γραφὴ οἷς ποτε ὄμμασι φωτὲς ὀλβοὶ
εἰς κεῖνον βλέψουσιν ὃν ἐτρυπάοντο σιδήρῳ

Sepultura Christi.

ΕΝΤΑΦΙΑΣΜΟΣ.

Ioseph ab Arimatæa Pilatũ accedit, petitq; vt sibi Christi corpus auferre liceat.

Αὐτὰρ ἐπεὶ, φαεσίμβροτος ἥλιος, ἅρμα φλογῶδες,
ἐς δύσιν ἄψ ἐπίταμνε, καὶ οὐρανὸν ἀμφιβέβηκε
κυανέη νεφέλη τε, προσαββάτου ἦμαρ ἱερῷ.
δὴ τότε ἦλθεν ἰωσηπος, πολυλήϊος ἀνὴρ,
μητιέτης νημερτὴς ἔννομος. οὐδὲ θεμιστέων
λήθεται ἀλλὰ δίκαια καὶ θέσκελα μηδέα εἰδὼς
ὑψιμέδοντ' ἐφόβει θεὸν, ἀστὸς ἀριμαθαίας
ἐνναετὴρ ὃς μήποτε ἐμμανέεσσι μενοιναῖς
βουλῇ ἐπὶ χριστὸν συνεφώνεεν, οὐδὲ τῷ ἔργῳ
δυσσεβέων: ἀτὰρ ἐλλόγιμος πέλε χριστοῦ ἑταῖρος,
ἐνδόμυχος δ' ἄρ', ἰουδαίων πεφυλαγμένος ὄκνον
ἠδὲ βίου μετέχειν ποτιδέγμενος ἀϊδίοιο.
θέσκελος οὗτος ἀνὴρ κατεπείγων, χαλκοβατὲς δῶ
δύσατο θαρσαλέως, μεγαλήτορος ἡγεμονῆος.
καὶ μεγάλ' ἐκλιπαρῶν, πῖλατον ἱκετεύσατο μύθῳ:
ὄφρα νεκρὸν χριστοῖο δέμας, ὑποείκῃ ἀναίρειν,

ἐκ σταυροῖο, πρεπόντως δὲ προήκα τυμβολοχῆσαι.
Οὔασι πευθόμενος σφετέροισιν, ὕπαρχος ἀγλιώως
υἷα θεοῖο μεταλλαχέναι βίον αἰφνιδίως καὶ
πνεῦμα ἀποψύξαι. μέγα περ κρατερόφρονα θυμὸν
ἔλλαβε θαῦμα, δὲ ἠγάσατο. προήκα κεντερέωνα
ἐγγύθι ὃς σταυροῖο ἔην θνήσκοντος ἰησοῦ
προσκαλέσας, μύθοισι μὶν ἐξερέεινεν ἀθηρέως.
εἰ πάλαι ἐξέπτη μελέων, ἡ ψυχὴ, ὅπως φῆ.
ὡς δ' ἐνόησεν, ὅθ' ὑψίστου θεοῦ υἷα, προταγνὶ
εἷλε μέλας θάνατος, ἄφαρ ἀθανάτοιο θεοῖο,
χρῶτα νέκυν πόρε λισσομένῳ, φῶς φωτὶ ἑκόντι
οἷς θεράπεσσι κελεύσας ἀναίρειν, οἵτε δοθῆναι.
Εἶτα θεεῖος ἀνὴρ, μίτρην καὶ σινδόνα λεπτὴν
ἐξαγορήσατο, ᾧ χρόα φοινήεντα ἰησοῦ
ἐντύλιξε: ἦ δὲ Νικόδημος δῖος ἐπῆλθε,
ἀρχὸς ἰουδαίων ἀριδείκετος, ἄριστος ἀνὴρ,
ὅστε πάρος νύχα, δυομένου νέον ἠελίοιο,
κρυπτάδι ταρσῷ, ἵκανε θεὸν ποτὶ, μίγμα κομίζων
ἀραβίης σμίρνης, ἀλόης καὶ εὐώδεος. ὡσεὶ
σταθμὸν ἑκατόν. δύο ἔτω ὑφωμαδὸν ἦγε φῶτε
χρῶτα κατασπασθέντα ἀπὸ σταυροῖο λαβόντες
ἤλειψαν θυόεντι ἐλαίῳ, ἀκρεφνεί ἠδὲ
σινδόνι ἐντύλιξαν, ἑανῷ λιτὶ κάλυψαν,
ἐς πόδας ἐκ κεφαλῆς ὀστώδει δεσμῷ ἔδησαν.
ὥσπερ ἀνώγει ἰουδαίοις, ἐπιθύμβια θεσμὰ,
ἐνταφιάζειν σώματα νεκρά. δ' ἐγγύθι χώρου,
ἣ θεόπαιδα πάρος, χθονὸς ὑψόθι εὐελοδέης
ἐξετανυσθέντα, σκολόπιζον ἀμείλιχ' ἀλιτροὶ
κῆπος ἔην ἀγχίασπορος, ᾧ ἐνὶ μνῆμα νεουργὸν
ἐκ πέτρας γεγλαμμένον: ἔνδον οὐ, οὐδέπω οὐδεὶς
χρὼς ἐτάφη νενεκρωμένος. αὐτίκα δῖος ἰωσὴφ

Præses à centurione sciscitatur horam qua filius Dei è viuis excessit.

Nicodemus funeralis adiutor officij, coniungit se Iosepho.

Christũ exequijs honorificis prosequuntur.

** Monumenti nouitas, nouũ atq; inauditũ de morte, ad vitam reditum significat, inquit Cyrillus.*

ὅττι πυ-

ὅτε παρασκευῆς τότε ἐς δύσιν ἔτρεχεν αἴγλη:
καὶ σχεδίην ἐπέφωσκε, κλεεινῆς κῶμος ἑορτῆς,
ἀντικρὺ καὶ χώρου, ἔην τάφος. ἡ ῥάν' ἐκεῖθι,
χριστοῦ ἀειζώοιο νέκυν χρόα, ἄνθεσαν ἄμφω,
τύμβῳ ἐνὶ γλαφυρῷ. μετέπειτ' ἐπὶ χάσμα χαμεύνης,
λᾶαν ἔρεισαν ὑπερβελθῆ, ἠδ' ἐπιτύμβιον ἔργον
ἐκτολυπευσάμενοι, ἄφαρ ἂψ οἴκονδε μόλοντο.

E regione sepulchri sedent mulieres spectantes ritus sepulchrales.

ἀντιπέρας δὲ τάφοιο, θάκευσαν ὁμοῦ τι γυναῖκες
χριστοχαρεῖς, λιπαρῶς ἀχέουσαι: ὧν χ' ὑπὸ ὄμβρῳ
δακρυόεντι, παριῤῥαίνοντο παρειαί: ἂν ἦσιν
πενθαλέη πέλε μαγδαλινὴ, μαρίη τε ἰώση,
καὶ μίγα θηλύτεραι ἄλλαι, θεῷ αἵτε ἑκόντι
ἐκ βαθυληΐου, ἕποντο πάρος, γαλιλαιάδος αἴης
ἱερὸν ἐς πτολίεθρον: ἐπιπλεύουσαι ἄπωθεν
μνῆμα ἑοῖς φαέεσσιν ἴδον, ἐπιτυμβίδιον καὶ
σχῆμα, ὅπη τε, τρόπον τινα, χρὼς χριστοῖο ἔκειτο.
Ὥς δὲ καὶ ἐρχομένης ἡ ἐδεύετο νυκτὸς ὁμίχλη
ἂψ οἴκονδε νέεσθαι, ἐς ἱερὸν εἰσαφίκανον
ἄστυ. ἄφαρ θυόεντα μύρον καὶ καλὸν ἄλειφαρ
ἐμμαπέως πεπονήατο. ἄλλα δὲ ἤματι ἱρῷ
ὡς δέον ἦν καμάτοιο ἔπαυσαν, καὶ ἔννομα ῥέξαν.
Αὐτὰρ ἐπεὶ φάος ἄλλον ἑωσφόρος ἀνδράσιν ἀστὴρ
δεῖξε, παρασκευῆς μετὰ ὁλκὸν. οἱ ἀρχιερῆες

Sequenti die conueniunt pontifices & seniores obnixè petentes à præside vt curet sepulchrũ muniri. Matth. 27.

ἀρχέκακοι, φαρισαῖοι ἐλέφρονες, ἄλλος ὅμιλος
ἀλλοπρόσαλλος, ἀολλέες εἰς τὸ ἐϋκτίμενον δῶ
ἡγεμονῆος ἀγηνορίδαο ἐπέῤῥεον: οἱ καὶ
τοῖον ἔπος ῥήξαντο. σεβάσμιε ὄρχαμε ἄνερ
ἡμμέες ἐν μνήμῃ ἐχόμεσθ' ὅτι ἔναγχος ἐκεῖνος
φὼς ἀπατηλὸς ὃν ἄρτ' ἀΐδι προϊάψαμεν, ὅς καὶ
νῦν ἀπόλωλε κακὸν μόρον, ὡς ἐπιπάγχυ ἔνεστι
οὐδεμίη ἡμῖν, θαλπωρὴ, ἐκεῖνον ἐπ' ἀρτὶ,

εἰς φάος ἐρπέμεναι πάλιν, ἠὲ ἐκ ἄϊδος ἔξω
νοστῆσαι: εἴπερ τις ἐπιχθονίων ἀνθρώπων,
φησὶν ἀναστῆναι. τοῦ γὰρ πάνυ ὤλετο ζωὴ
καὶ ψυχή. τῆνος δ' ἀναφαντὰ παρόντος ὁμίλου
εἰσέτι ζωὸς ἐὼν σφετέρῳ δαμασίφρονι μύθῳ
φθέγξατο, αὖτις ἐγὼ τὰ ὀλώϊα ἄρκυα πότμου
ῥηξάμενος, καὶ ἐχυρῶς μοῖραν θανάτοιο τελέσσας
τρίπλακα κυκλοφόρου, μετὰ ἠελίοιο ἑλιγμόν,
νόστιμος ἐξ ἀΐδαο, ἔχων παλιναυξέα ζωήν,
αὖθις ἀγείρομαι. οὕνεκα σεῦ αἰτούμενοι ἅπαντες
ὄφρα τεοῖς θεράπεσσιν ἄφαρ μύθοισι κελεύσῃς
ὀτραλέως τὸ μνῆμα κρατεύειν, ἀσφαλέας καὶ
αἰὲν ἔχειν φυλακάς, τοῦ ἤματος ἄχρι τριτοῖο:
μήποτε, τόφρα ἐοῦ ἀπατηλοί, νυκτὸς ἑταῖροι
ἐρχόμενοί, μιν λάθρα συλεύσωσίν τε βάζοντες
ἠπεροπῆα λόγον, ἡμῶν ταχυπειθέϊ λαῷ.
φῶς νενεκρωμένος, ἐκ νεκύων ἐξαῦθις ἀνέστη.
τὴν δὲ παλιμβολίη, πολὺ κυντέρη ἐσχάτη ἔσται,
τῆς πρώτης. ἔφοδον καταινεύσας ὄρχαμος ἀφρῶν,
πᾶσι θεοστυγέεσσι παραβλήδην ἀγόρευε.
ἐνθάδε δρηστῆρες, κεκορυθμένοι αἴθοπι χαλκῷ,
* ἠδ' ὑπηρέτ' ἄρηος, ἐπείγετε ὅττι τάχιστα,
ἀσφαλίζεσθαι ἐρυμνῶσαι καὶ μνῆμα φρονήτως.
ἔννεπε: οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο
λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
κῆπον ὅπη τοῦ ἀειζώοιο τεταμμένον εἴη
σῶμα νεκρὸν τάχ' ἔδυσαν, ἄφαρ καὶ παντίσε χῶρον
ὁπλοφόρων στίχη ἐστέψαντο, τάφοιο θύρετρον
λαΐνεον, σφρηγῖδι ἐσημήναντο ἀπελὲξ καὶ
τύμβον ἔρυντο νεκρὸν βροτ' ἀειζώοντα ἐτήρουν.

Δόξα θεῷ

Impiorum conatus cedit in gloriam Dei, ad veritatem stabiliendã & propriam perniciem.

* Thre. 3. Psal. 88. Oppresserunt in lacu vitam Christi, quando eius caro peruenit vsq; ad mortis occubitum, cui super imposuerunt lapidẽ:, eumq; signarunt custodibus adhibitis. Hiero:

EPIGRAMMA
AD PETRVM VINSTRVPIVM DANVM.


ON ita mirifico viuax amaranthus odore
Pectoris humani mollia sensa mouet:
Quàm nostras animas prænobile nomen IESV
Robore viuifico condecorare potest.
Flore vel hoc vno suauissima mittitur aura
Omnibus Hyblæis anteferenda rosis.
Hic flos, hoc germen Iessæo stemmate natum
Cœtibus aspirat gaudia læta pijs.
Filius ille DEI proprio nos sanguine lotos
Regni participes efficit esse sui:
Historiam cuius docta cum pinxeris arte,
Mi PETRE, tu duplici nomine gratus eris.
Nam nitidis Pietas pulcherrima iuncta Camœnis,
Non modò delectat, sed simul illa iuuat.
Perge, decus nostrum, quo te Natura Deusq;
Turbaq; Pieridum deliciosa trahit.
Tu siquidem surges patriæ spes altera nostræ,
Puraq; Castalij gloria fontis eris.

I. S. P. L.

Errata quæ inter excudendum obrepsère sic corrige.

Folio 3. versu 18. lege εἰ δέ νυ. *f. 5. v. 15.* βροτόεντα. *f. 7. v. 16.* πολυφέρτατον. *f. 10. v. 2.* ἀσιφέλικτον. *fol. 12. ve. 12. in montem. f. 14. vers. 6. montis. fol. 16. ver. 12.* ἤυχετο. *f. 17. v. 8.* διεγερθέντας. *f. 18. v. 18.* φρονίμως. *fol. 25. v. 11. suo percussore. f. 25. v. 31.* ἔσκες. *fol. 26. vers. 27. conuicta. f. 30. v. 6.* ἀνύσειεν. *f. 32. v. 19.* σφίγξατο. *f. 33. versu 24.* θέλον μὴ ἵν᾽ ἔμπυσα. *f. 36. v. 4.* διάδηλον. *f. 42. v. 14.* ἄλλος ἐπ᾽ ἄλλῳ τὴν ἐπατάξατο &c. *f. 42. v. 17.* ἀλλ᾽ αἰκίσματα. *f. 49. v. 8. f.* φωνῇ. *f. 50. v. 3.* οἱ δ᾽ [illegible].